$$\frac{1}{2}\psi z-\psi=\alpha^2, \qquad \frac{1}{2}\psi z-z=\beta^2$$

14.

$$\frac{1}{2}\psi z-\omega=\alpha^2, \qquad \frac{1}{2}\psi z-\psi=\beta^2, \qquad \left(\text{ἢ } \frac{1}{2}\psi z-z=\gamma^2\right)$$

15.

$$\frac{1}{2}\psi z+\omega=\alpha^2, \qquad \frac{1}{2}\psi z+\psi=\beta^2, \qquad \left(\text{ἢ } \frac{1}{2}\psi z+z=\gamma^2\right)$$

16.

Νὰ εὑρεθῇ ὀρθογώνιον τρίγωνον, ὥστε ἡ διχοτόμος μιᾶς τῶν ὀξειῶν γωνιῶν νὰ εἶναι ῥητὸς ἀριθμός.

17.

$$\frac{1}{2}\psi z+\omega=\alpha^2, \qquad \psi+z+\omega=\beta^3$$

18.

$$\frac{1}{2}\psi z+\omega=\alpha^3, \qquad \psi+z+\omega=\beta^2$$

19.

$$\frac{1}{2}\psi z + \psi = \alpha^2, \qquad \psi + z + \omega = \beta^3$$

20.

$$\frac{1}{2}\psi z + \psi = \alpha^3, \qquad \psi + z + \omega = \beta^2$$

21.

$$\psi + z + \omega = \alpha^2, \qquad \psi + z + \omega + \frac{1}{2}\psi z = \beta^3$$

22.

$$\psi + z + \omega = \alpha^3, \qquad \psi + z + \omega + \frac{1}{2}\psi z = \beta^2$$

23.

$$\omega^2 = \alpha^2 + \alpha, \qquad \frac{\omega^2}{\psi} = \beta^3 + \beta, \qquad \left(\text{ἢ } \frac{\omega^2}{z} = \gamma^3 + \gamma \right)$$

24.

$$\psi = \alpha^3, \qquad z = \beta^3 - \beta, \qquad \omega = \gamma^3 + \gamma$$

Περισωθέντα θεωρήματα περὶ πολυγώνων ἀριθμῶν.

1.

Ἐὰν $AB > B\Gamma > \Gamma\Delta$ εἶναι διαδοχικοὶ ὅροι ἀριθμητικῆς προόδου, ἰσχύει πάντοτε

$$8\,AB \cdot B\Gamma + \Gamma\Delta^2 = (AB + 2B\Gamma)^2$$

2.

Ἔστω δ ἡ διαφορὰ δύο διαδοχικῶν ὅρων τῆς ἀριθμητικῆς προόδου, α ὁ πρῶτος ὅρος, τ ὁ τελευταῖος καὶ ν τὸ πλῆθος τῶν ὅρων. Ἀποδεικνύεται:

$$\tau - \alpha = (\nu - 1)\delta$$

3.

Ἔστω ἡ ἀριθμητικὴ πρόοδος $A + B + \Gamma + ... + Z = \Sigma$ μὲ πλῆθος τῶν ὅρων ν. Ἀποδεικνύεται:

$$(A + Z)\nu = 2\,(A + B + \Gamma + ... + Z) \quad \text{ἢ} \quad \Sigma = \frac{(A + Z)\nu.}{2}$$

4.

Εἰς πᾶσαν ἀριθμητικὴν πρόοδον τῆς μορφῆς

$$\Sigma = 1 + (1 + \delta) + (1 + 2\delta) + ... + [1 + (\nu - 1)\delta]$$

εἶναι $\Sigma \cdot 8\delta + (\delta - 2)^2 = [2 + (2\nu - 1)\delta]^2$, ὅπου ν τὸ πλῆθος τῶν ὅρων.

Τῆς ἀνωτέρω προόδου εἶναι

$$\Sigma = \frac{[2 + (2\nu - 1)\,\delta]^2 - (\delta - 2)^2}{8\delta}$$

Ἐὰν δοθῇ ὅτι ὁ Σ εἶναι πολύγωνος ἔχων γωνίας $n = \delta + 2$ (n εἶναι ὁ ἀριθμὸς τῶν γωνιῶν κανονικοῦ πολυγώνου, δ ἡ διαφορὰ δύο διαδοχικῶν ὅρων ἀριθμ. προόδου μὲ πρῶτον ὅρον τὴν μονάδα) εἶναι

$$\nu = \frac{1}{2}\left[\frac{\sqrt{\Sigma \cdot 8\,(n - 2) + (n - 4)^2} - 2}{n - 2} + 1\right]$$

ὅπου ν τὸ πλῆθος τῶν ὅρων τῆς προόδου.

Ἡ τελευταία πρότασις: Δοθέντος ἀριθμοῦ νὰ εὑρεθῇ κατὰ πόσους τρόπους οὗτος δύναται νὰ εἶναι πολύγωνος θεωρεῖται ὑπὸ τοῦ P. Tannery ὡς παρεμβολή. Εἶναι ὅμως ἐξόχως ἐνδιαφέρουσα. Ἡ ἀπόδειξις δὲν ἐσώθη ὁλόκληρος.

ΔΙΟΦΑΝΤΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ

ΑΡΙΘΜΗΤΙΚΩΝ Α.

Τὴν εὕρεσιν τῶν ἐν τοῖς ἀριθμοῖς προβλημάτων, τιμιώτατέ μοι Διονύσιε, γινώσκων σε σπουδαίως ἔχοντα μαθεῖν, [ὀργανῶσαι τὴν μέθοδον] ἐπειράθην, ἀρξάμενος ἀφ' ὧν συνέστηκε τὰ πράγματα θεμελίων, ὑποστῆσαι τὴν ἐν τοῖς ἀριθμοῖς φύσιν τε καὶ δύναμιν.

Ἴσως μὲν οὖν δοκεῖ τὸ πρᾶγμα δυσχερέστερον, ἐπειδὴ μήπω γνώριμόν ἐστιν, δυσέλπιστοι γὰρ εἰς κατόρθωσίν εἰσιν αἱ τῶν ἀρχομένων ψυχαί, ὅμως δ' εὐκατάληπτόν σοι γενήσεται, διά τε τὴν σὴν προθυμίαν καὶ τὴν ἐμὴν ἀπόδειξιν· ταχεῖα γὰρ εἰς μάθησιν ἐπιθυμία προσλαβοῦσα διδαχήν.

Ἀλλὰ καὶ πρὸς τοῖσδε γινώσκοντί σοι πάντας τοὺς ἀριθμοὺς συγκειμένους ἐκ μονάδων πλήθους τινός, φανερὸν καθέστηκεν εἰς ἄπειρον ἔχειν τὴν ὕπαρξιν. τυγχανόντων δὴ οὖν ἐν τούτοις.

ὧν μὲν τετραγώνων, οἵ εἰσιν ἐξ ἀριθμοῦ τινος ἐφ' ἑαυτὸν πολυπλασιασθέντος· οὗτος δὲ ὁ ἀριθμὸς καλεῖται πλευρὰ τοῦ τετραγώνου·

ὧν δὲ κύβων, οἵ εἰσιν ἐκ τετραγώνων ἐπὶ τὰς αὐτῶν πλευρὰς πολυπλασιασθέντων,

ὧν δὲ δυναμοδυνάμεων, οἵ εἰσὶν ἐκ τετραγώνων ἐφ' ἑαυτοὺς πολυπλασιασθέντων,

ὧν δὲ δυναμοκύβων, οἵ εἰσιν ἐκ τετραγώνων ἐπὶ τοὺς ἀπὸ τῆς αὐτῆς αὐτοῖς πλευρᾶς κύβους πολυπλασιασθέντων,

ὧν δὲ κυβοκύβων, οἵ εἰσιν ἐκ κύβων ἐφ' ἑαυτοὺς πολυπλασιασθέντων, ἔκ τε τῆς τούτων ἤτοι συνθέσεως ἢ ὑπεροχῆς ἢ πολυπλασιασμοῦ ἢ λόγου τοῦ πρὸς ἀλλήλους ἢ καὶ ἑκάστων πρὸς τὰς ἰδίας πλευρὰς συμβαίνει πλέκεσθαι πλεῖστα προβλήματα ἀριθμητικά· λύεται δὲ βαδίζοντός σου τὴν ὑποδειχθησομένην ὁδόν.

Ἐδοκιμάσθη οὖν ἕκαστος τούτων τῶν ἀριθμῶν συντομωτέραν ἐπωνυμίαν κτησάμενος στοιχεῖον τῆς ἀριθμητικῆς θεωρίας εἶναι· καλεῖται οὖν ὁ μὲν τετράγωνος δύναμις καὶ ἔστιν αὐτῆς σημεῖον τὸ Δ ἐπίσημον ἔχον Υ, $Δ^{Υ}$ δύναμις.

ὁ δὲ κύβος καὶ ἔστιν αὐτοῦ σημεῖον Κ ἐπίσημον ἔχον Υ, $Κ^{Υ}$ κύβος·

ὁ δὲ ἐκ τετραγώνου ἐφ' ἑαυτὸν πολυπλασιασθέντος δυναμοδύνα-

ΔΙΟΦΑΝΤΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ
ΑΡΙΘΜΗΤΙΚΩΝ

ΒΙΒΛΙΟΝ Ι

Φίλτατέ μου Διονύσιε, γνωρίζων τὸ ἐνδιαφέρον σου νὰ μάθῃς τὴν λύσιν τῶν ἀριθμητικῶν προβλημάτων, προσεπάθησα, ἀρχόμενος ἀπὸ τῶν ἁπλῶν στοιχείων ἀπὸ τῶν ὁποίων συνίστανται τὰ πράγματα, νὰ ἐκθέσω τὴν φύσιν καὶ τὴν δύναμιν, ἡ ὁποία ὑπάρχει εἰς τοὺς ἀριθμούς.

Ἴσως μὲν λοιπὸν τὸ πρᾶγμα νὰ φαίνεται δυσκολώτερον, ἐπειδὴ δὲν σοῦ εἶναι ἀκόμη γνώριμον, διότι αἱ ψυχαὶ τῶν ἀρχαρίων ἀμφιβάλλουσι εἰς τὴν ἐπιτυχίαν, ὅμως δὲ θὰ σοῦ γίνῃ εὐκατάληπτον, καὶ διὰ τὴν προθυμίαν σου καὶ διὰ τὴν ἀπόδειξίν μου· διότι ὁ ἐπιθυμῶν ἀντιλαμβάνεται ταχέως, ὅταν τύχῃ διδαχῆς.

Ἀλλὰ καὶ πρὸς τούτοις ἀφοῦ γνωρίζεις ὅτι ὅλοι οἱ ἀριθμοὶ σύγκεινται ἐκ μονάδων πλήθους τινος, εἶναι φανερὸν ὅτι ὁ σχηματισμός των δὲν ἔχει ὅριον. Διότι μεταξὺ τούτων ὑπάρχουσιν ἄλλοι μὲν τετράγωνοι, οἱ ὁποῖοι προέρχονται ἐξ ἀριθμοῦ τινος πολλαπλασιασθέντος ἐφ' ἑαυτόν· ὁ ἀριθμὸς δὲ οὗτος καλεῖται πλευρὰ τοῦ τετραγώνου.

ἄλλοι δὲ κύβοι, οἱ ὁποῖοι προέρχονται ἐκ τετραγώνων ἀφοῦ πολλαπλασιασθῶσιν ἐπὶ τὴν αὐτὴν πλευράν,

ἄλλοι δὲ δυναμοδυνάμεις, οἱ ὁποῖοι προέρχονται ἐκ τετραγώνων ὅταν πολλαπλασιασθῶσιν ἐφ' ἑαυτούς,

ἄλλοι δὲ δυναμόκυβοι, οἱ ὁποῖοι προέρχονται ἐκ τετραγώνων ὅταν πολλαπλασιασθῶσιν ἐπὶ κύβους ἔχοντας τὴν αὐτὴν πλευράν,

ἄλλοι δὲ κυβόκυβοι, οἱ ὁποῖοι προέρχονται ἐκ κύβων, ὅταν πολλαπλασιασθῶσιν ἐφ' ἑαυτούς, καὶ συμβαίνει εἴτε ἐκ τῆς προσθέσεως τούτων, ἢ ἐκ τῆς ἀφαιρέσεως ἢ ἐκ τοῦ πολλαπλασιασμοῦ ἢ ἐκ τοῦ λόγου πρὸς ἀλλήλους ἢ πρὸς τὰς ἰδίας ἑκάστων πλευρὰς νὰ συντίθενται πλεῖστα ἀριθμητικὰ προβλήματα. λύεται δὲ ἕκαστον πρόβλημα ὅταν βαδίζῃς τὴν ὑποδειχθησομένην ὁδόν.

Κατὰ ταῦτα ἕκαστος τῶν ἀριθμῶν τούτων ἀποκτήσας συμβολικὴν παράστασιν ὠνομάσθη στοιχεῖον τῆς θεωρίας τῶν ἀριθμῶν· καλεῖται λοιπὸν ὁ μὲν τετράγωνος δύναμις καὶ σύμβολον ταύτης τὸ σημεῖον Δ μὲ ἐκθέτην (= ἐπίσημον) τὸ Υ, Δ^{Υ} (x^2)·

ὁ δὲ καλεῖται κύβος καὶ εἶναι σημεῖον αὐτοῦ τὸ Κ μὲ ἐκθέτην τὸ Υ, K^{Υ} (x^3).

ὁ δὲ προερχόμενος ἐκ τετραγώνου πολλαπλασιασθέντος ἐφ' ἑαυτὸν καλεῖμ ι ς καὶ ἔστιν αὐτοῦ σημεῖον δέλτα δύο ἐπίσημον ἔχοντα, Υ, $\Delta^{Y}\Delta$ δυναμοδύναμις·

ὁ δὲ ἐκ τετραγώνου ἐπὶ τὸν ἀπὸ τῆς αὐτῆς αὐτῷ πλευρᾶς κύβου πολυπλασιασθέντος δ υ ν α μ ό κ υ β ο ς καὶ ἔστιν αὐτοῦ σημεῖον τὰ ΔΚ ἐπίσημον ἔχοντα Υ, ΔK^{Y} δυναμόκυβος·

ὁ δὲ ἐκ κύβου ἑαυτὸν πολυπλασιάσαντος κ υ β ό κ υ β ο ς καὶ ἔστιν αὐτοῦ σημεῖον δύο κάππα ἐπίσημον ἔχοντα, Υ, $K^{Y}K$ κυβόκυβος.

ὁ δὲ μηδὲν τούτων τῶν ἰδιωμάτων κτησάμενος, ἔχων δὲ ἐν ἑαυτῷ πλῆθος μονάδων ἀόριστον, ἀ ρ ι θ μ ὸ ς καλεῖται καὶ ἔστιν αὐτοῦ σημεῖον τὸ ϛ.

ἔστι δὲ καὶ ἕτερον σημεῖον τὸ ἀμετάθετον τῶν ὡρισμένων ἡ μ ο ν ὰ ς καὶ ἔστιν αὐτῆς σημεῖον τὸ Μ ἐπίσημον ἔχον τὸ Ο, $\overset{\circ}{M}$.

Ὥσπερ δὲ τῶν ἀριθμῶν τὰ ὁμώνυμα μόρια παρομοίως καλεῖται τοῖς ἀριθμοῖς, τοῦ μὲν τρία τὸ τρίτον, τοῦ δὲ τέσσαρα τὸ τέταρτον, οὕτως καὶ τῶν νῦν ἐπονομασθέντων ἀριθμῶν τὰ ὁμώνυμα μόρια κληθήσεται παρομοίως τοῖς ἀριθμοῖς·

τοῦ μὲν ἀριθμοῦ,	τὸ ἀριθμοστόν,
τῆς δὲ δυνάμεως,	τὸ δυναμοστόν,
τοῦ δὲ κύβου,	τὸ κυβοστόν,
τῆς δὲ δυναμοδυνάμεως,	τὸ δυναμοδυναμοστόν,
τοῦ δὲ δυναμοκύβου,	τὸ δυναμοκυβοστόν,
τοῦ δὲ κυβοκύβου,	τὸ κυβοκυβοστόν·

ἕξει δὲ ἕκαστον αὐτῶν ἐπὶ τὸ τοῦ ὁμωνύμου ἀριθμοῦ σημεῖον γραμμὴν × διαστέλλουσαν τὸ εἶδος.

Ἐκθέμενος οὖν σοι τὴν ἑκάστου τῶν ἀριθμῶν ἐπωνυμίαν, ἐπὶ τοὺς πολυπλασιασμοὺς αὐτῶν μεταβήσομαι· ἔσονται δέ σοι καταφανεῖς διὰ τὸ προδεδηλῶσθαι σχεδὸν διὰ τῆς ὀνομασίας.

Ἀριθμὸς μὲν ἐπὶ ἀριθμὸν πολυπλασιασθεὶς ποιεῖ δύναμιν,

	ἐπὶ δὲ δύναμιν,	κύβον,
	ἐπὶ δὲ κύβον,	δυναμοδύναμιν,
	ἐπὶ δὲ δυναμοδύναμιν,	δυναμόκυβον,
	ἐπὶ δὲ δυναμόκυβον,	κυβόκυβον.
Δύναμις δὲ	ἐπὶ μὲν δύναμιν,	δυναμοδύναμιν,
	ἐπὶ δὲ κύβον,	δυναμόκυβον,
	ἐπὶ δὲ δυναμοδύναμιν,	κυβόκυβον.
Κύβος δὲ	ἐπὶ κύβον,	κυβόκυβον.

Πᾶς δ' ἀριθμὸς ἐπὶ τὸ ὁμώνυμον αὐτοῦ μόριον πολυπλασιασθεὶς μονάδα ποιεῖ.

ται δυναμοδύναμις καὶ εἶναι σημεῖον αὐτοῦ δύο δέλτα μὲ ἐκθέτην τὸ Υ, Δ^ΥΔ δυναμοδύναμις (x^4)·

ὁ δὲ προερχόμενος ἐκ τετραγώνου πολλαπλασιασθέντος ἐπὶ κύβου τῆς αὐτῆς πλευρᾶς καλεῖται δυναμόκυβος καὶ παρίσταται διὰ τοῦ ΔΚ μὲ ἐκθέτην τὸ Υ, ΔΚ^Υ δυναμόκυβος (x^5)·

ὁ δὲ προερχόμενος ἐκ κύβου πολλαπλασιάσαντος ἑαυτὸν καλεῖται κυβόκυβος καὶ παρίσταται διὰ δύο κάππα ἔχοντα ἐκθέτην τὸ Υ, Κ^ΥΚ κυβόκυβος (x^6)·

ὁ δὲ ἀριθμὸς ὁ μὴ ὢν δύναμις ἀριθμοῦ τινος, ἀποτελούμενος δὲ ἐξ ἀορίστου (ἀγνώστου) πλήθους μονάδων καλεῖται ἀριθμὸς καὶ παρίσταται διὰ τοῦ ϛ (x).

Ὑπάρχει δὲ καὶ ἄλλο σημεῖον τὸ ἀμετάθετον τῶν ὡρισμένων ἀριθμῶν ἡ μονάς, ἥτις παρίσταται διὰ τοῦ Μ ἔχοντος ἐκθέτην τὸ Ο, $\overset{\circ}{M}$.

Καθὼς δὲ τῶν ἀριθμῶν αἱ ὁμώνυμοι κλασματικαὶ μονάδες καλοῦνται ἐπὶ τῇ βάσει τῶν ἀριθμῶν, τοῦ μὲν τρία τὸ τρίτον, τοῦ δὲ τέσσαρα τὸ τέταρτον, οὕτως καὶ τῶν ἀριθμῶν, οἵτινες ἐπωνομάσθησαν τώρα θὰ καλῶνται ὁμοίως αἱ ὁμώνυμοι κλασματικαὶ μονάδες·

τοῦ μὲν ἀριθμοῦ, τὸ ἀριθμοστὸν (τοῦ x ἡ κλασμ. μονὰς $= \frac{1}{x}$),

τῆς δὲ δυνάμεως, τὸ δυναμοστὸν (τοῦ x^2 ἡ κλασμ. μονὰς $= \frac{1}{x^2}$),

τοῦ δὲ κύβου, τὸ κυβοστὸν (τοῦ x^3 τὸ $\frac{1}{x^3}$),

τῆς δὲ δυναμοδυνάμεως, τὸ δυναμοδυναμοστὸν (τοῦ x^5 τὸ $\frac{1}{x^5}$),

τοῦ δὲ κυβοκύβου, τὸ κυβοκυβοστὸν (τοῦ x^6 τὸ $\frac{1}{x^6}$).

Θὰ ἔχῃ δὲ ἑκάστη τοιαύτη κλασματικὴ μονὰς γραμμὴν × ἐπὶ τὸ σημεῖον τοῦ ὁμωνύμου ἀριθμοῦ συμβολίζουσαν τὸ εἶδος.

Ἀφοῦ λοιπὸν σοῦ ἐξέθεσα τὴν ἐπωνυμίαν ἑκάστου τῶν ἀριθμῶν, θὰ μεταβῶ εἰς τοὺς πολλαπλασιασμοὺς αὐτῶν· θὰ εἶναι δὲ εἰς σὲ καταφανεῖς, διότι οὗτοι σχεδὸν προδηλοῦνται διὰ τῆς ὀνομασίας.

Ἀριθμὸς μὲν πολλαπλασιασθεὶς ἐπὶ ἀριθμὸν σχηματίζει δύναμιν ($x \times x = x^2$),

ἐπὶ δὲ δύναμιν, κύβον ($x \times x^2 = x^3$)
ἐπὶ δὲ κύβον, δυναμοδύναμιν ($x \times x^3 = x^4$)
ἐπὶ δὲ δυναμόκυβον, κυβόκυβον ($x \times x^5 = x^6$).
Δύναμις δὲ ἐπὶ μὲν δύναμιν, δυναμοδύναμιν ($x^2 \times x^2 = x^4$),
ἐπὶ δὲ κύβον, δυναμόκυβον ($x^2 \times x^3 = x^5$),
ἐπὶ δὲ δυναμοδύναμιν, κυβόκυβον ($x^2 \times x^4 = x^6$),
κύβος δὲ ἐπὶ κύβον, κυβόκυβον ($x^3 \times x^3 = x^6$).

Πᾶς δὲ ἀριθμὸς πολλαπλασιασθεὶς ἐπὶ τὴν ὁμώνυμον κλασματικὴν μο-

Τῆς οὖν μονάδος ἀμεταθέτου οὔσης καὶ ἑστώσης ἀεί, τὸ πολυπλασιαζόμενον εἶδος ἐπ' αὐτὴν αὐτὸ τὸ εἶδος ἔσται.

Τὰ δ' ὁμώνυμα μόρια ἐφ' ἑαυτὰ πολυπλασιαζόμενα ποιήσει ὁμώνυμα μόρια τοῖς ἀριθμοῖς·

οἷον τὸ μὲν ἀριθμοστὸν	
ἐπὶ τὸ ἀριθμοστόν,	*δυναμοστὸν ποιεῖ,*
ἐπὶ δὲ δυναμοστόν,	*κυβοστόν,*
[ἐπὶ δὲ κυβοστόν,	*δυναμοδυναμοστόν,*
ἐπὶ δὲ δυναμοδυναμοστόν,	*δυναμοκυβοστόν,*
ἐπὶ δὲ τὸ δυναμοκυβοστόν,	*κυβοκυβοστόν,]*
καὶ τοῦτο ὁμωνύμως συμβήσεται.	
Ἀριθμοστὸν δὲ	
ἐπὶ μὲν δύναμιν,	*ἀριθμόν,*
ἐπὶ δὲ κύβον,	*δύναμιν,*
ἐπὶ δὲ δυναμοδύναμιν,	*κύβον,*
ἐπὶ δὲ δυναμόκυβον,	*δυναμοδύναμιν,*
ἐπὶ δὲ κυβόκυβον,	*δυναμόκυβον.*
Δυναμοστὸν δὲ	
ἐπὶ μὲν ἀριθμόν,	*ἀριθμοστόν,*
ἐπὶ δὲ κύβον,	*ἀριθμόν,*
ἐπὶ δὲ δυναμοδύναμιν,	*δύναμιν,*
ἐπὶ δὲ δυναμόκυβον,	*κύβον,*
ἐπὶ δὲ κυβόκυβον,	*δυναμοδύναμιν.*
Κυβοστὸν δὲ	
ἐπὶ μὲν ἀριθμόν,	*δυναμοστόν,*
ἐπὶ δὲ δύναμιν,	*ἀριθμοστόν,*
ἐπὶ δὲ δυναμοδύναμιν,	*ἀριθμόν,*
ἐπὶ δὲ δυναμόκυβον,	*δύναμιν,*
ἐπὶ δὲ κυβόκυβον.	*κύβον.*
Δυναμοδυναμοστὸν δὲ	
ἐπὶ μὲν ἀριθμόν,	*κυβοστόν,*
ἐπὶ δὲ δύναμιν,	*δυναμοστόν,*
ἐπὶ δὲ κύβον,	*ἀριθμοστόν,*
ἐπὶ δὲ δυναμόκυβον,	*ἀριθμόν,*
ἐπὶ δὲ κυβόκυβον,	*δύναμιν.*
Δυναμοκυβοστὸν δὲ	
ἐπὶ μὲν ἀριθμόν,	*δυναμοδυναμοστόν,*

νάδα δίδει ἐξαγόμενον τὴν μονάδα.

Ἐπειδὴ λοιπὸν ἡ μονὰς εἶναι ἀμετάθετος καὶ ἀμετάβλητος, τὸ ἐπ' αὐτὴν πολλαπλασιαζόμενον εἶδος θὰ εἶναι αὐτὸ τοῦτο τὸ εἶδος.

Αἱ δὲ ὁμώνυμοι κλασματικαὶ μονάδες πολλαπλασιαζόμεναι ἐφ' ἑαυτὰς δίδουν κλασματικὰς μονάδας ὁμωνύμους πρὸς τοὺς ἀριθμούς.

Π.χ. τὸ μὲν ἀριθμοστὸν πολλαπλασιασθὲν

ἐπὶ τὸ ἀριθμοστὸν δίδει δυναμοστὸν ($\frac{1}{x} \times \frac{1}{x} = \frac{1}{x^2}$),

ἐπὶ δὲ δυναμοστόν, κυβοστὸν ($\frac{1}{x} \times \frac{1}{x^2} = \frac{1}{x^3}$),

[ἐπὶ δὲ κυβοστόν, δυναμοδυναμοστὸν ($\frac{1}{x} \times \frac{1}{x^3} = \frac{1}{x^4}$),

ἐπὶ δὲ δυναμοδυναμοστόν, δυναμοκυβοστὸν ($\frac{1}{x} \times \frac{1}{x^4} = \frac{1}{x^5}$),

ἐπὶ δὲ τὸ δυναμοκυβοστόν, κυβοκυβοστὸν ($\frac{1}{x} \times \frac{1}{x^5} = \frac{1}{x^6}$)],

καὶ τοῦτο θὰ γίνεται ὁμωνύμως ($\frac{1}{x} \times \frac{1}{x^{\nu-1}} = \frac{1}{x^\nu}$)

Ἀριθμοστὸν δὲ πολλαπλασιασθὲν δίδει,

ἐπὶ μὲν δύναμιν, ἀριθμὸν ($\frac{1}{x} \times x^2 = x$),

ἐπὶ δὲ κύβον, δύναμιν ($\frac{1}{x} \times x^3 = x^2$)

ἐπὶ δὲ δυναμοδύναμιν, κύβον ($\frac{1}{x} \times x^4 = x^3$),

ἐπὶ δὲ δυναμόκυβον, δυναμοδύναμιν ($\frac{1}{x} \times x^5 = x^4$),

ἐπὶ δὲ κυβόκυβον, δυναμόκυβον ($\frac{1}{x} \times x^6 = x^5$).

Δυναμοστὸν δὲ πολλαπλασιασθὲν δίδει,

ἐπὶ μὲν ἀριθμόν, ἀριθμοστὸν ($\frac{1}{x^2} \times x = \frac{1}{x}$

ἐπὶ δὲ κύβον, ἀριθμὸν ($\frac{1}{x^2} \times x^3 = x$),

ἐπὶ δὲ δυναμοδύναμιν, δύναμιν, ($\frac{1}{x^2} \times x^4 = x^2$),

ἐπὶ δὲ δυναμόκυβον, κύβον, ($\frac{1}{x^2} \times x^5 = x^3$),

Κυβοστὸν δὲ πολλαπλασιασθὲν δίδει,

ἐπὶ μὲν ἀριθμόν, δυναμοστὸν ($\frac{1}{x^3} \times x = \frac{1}{x^2}$)

ἐπὶ δὲ δύναμιν, ἀριθμοστὸν ($\frac{1}{x^3} \times x^2 = \frac{1}{x}$),

ἐπὶ δὲ δυναμοδύναμιν, ἀριθμὸν ($\frac{1}{x^3} \times x^4 = x$),

ἐπὶ δὲ δύναμιν,	κυβοστόν,
ἐπὶ δὲ κύβον,	δυναμοστόν,
ἐπὶ δὲ δυναμοδύναμιν,	ἀριθμοστόν,
ἐπὶ δὲ κυβόκυβον,	ἀριθμόν.

Τὸ δὲ κυβοκυβοστὸν

ἐπὶ μὲν ἀριθμόν,	δυναμοκυβοστόν,
ἐπὶ δὲ δύναμιν,	δυναμοδυναμοστόν,
ἐπὶ δὲ κύβον,	κυβοστόν,
ἐπὶ δὲ δυναμοδύναμιν,	δυναμοστόν,
ἐπὶ δὲ δυναμόκυβον,	ἀριθμοστόν.

Λεῖψις ἐπὶ λεῖψιν πολλαπλασιασθεῖσα ποιεῖ ὕπαρξιν, λεῖψις δὲ ἐπὶ ὕπαρξιν ποιεῖ λεῖψιν, καὶ τῆς λείψεως σημεῖον Ψ ἐλλιπὲς κάτω νεῦον, ⋔.

Καὶ τῶν πολλαπλασιασμῶν σοι σαφηνισθέντων, φανεροί εἰσιν οἱ μερισμοὶ τῶν προκειμένων εἰδῶν. καλῶς οὖν ἔχει ἐναρχόμενον τῆς πραγματείας συνθέσει καὶ ἀφαιρέσει καὶ πολλαπλασιασμοῖς τοῖς περὶ τὰ εἴδη γεγυμνάσθαι, καὶ πῶς εἴδη ὑπάρχοντα καὶ λείποντα μὴ ὁμοπληθῆ προσθῇς ἑτέροις εἴδεσιν, ἐπὶ δὲ δυναμόκυβον, δύναμιν ($\frac{1}{x^3} \times x^5 = x^2$),

ἐπὶ δὲ κυβόκυβον, κύβον ($\frac{1}{x^3} \times x^6 = x^3$).

Δυναμοδυναμοστὸν δὲ πολλαπλασιασθὲν δίδει,

ἐπὶ μὲν ἀριθμόν, κυβοστὸν ($\frac{1}{x^4} \times x = \frac{1}{x^3}$),

ἐπὶ δὲ δύναμιν, δυναμοστὸν ($\frac{1}{x^4} \times x^2 = \frac{1}{x^2}$),

ἐπὶ δὲ κύβον, ἀριθμοστὸν ($\frac{1}{x^4} \times x^3 = \frac{1}{x}$

ἐπὶ δὲ δυναμόκυβον, ἀριθμὸν ($\frac{1}{x^4} \times x^5 = x$),

ἐπὶ δὲ κυβόκυβον, δύναμιν ($\frac{1}{x^4} \times x^6 = x^2$).

Δυναμοκυβοστὸν δέ, πολλαπλασιασθὲν δίδει,

ἐπὶ μὲν ἀριθμόν, δυναμοδυναμοστὸν ($\frac{1}{x^5} \times x = \frac{1}{x^4}$).

ἐπὶ δὲ δύναμιν, κυβοστὸν ($\frac{1}{x^5} \times x^2 = \frac{1}{x^3}$),

ἐπὶ δὲ κύβον, δυναμοστὸν ($\frac{1}{x^5} \times x^3 = \frac{1}{x^2}$),

ἐπὶ δὲ δυναμοδύναμιν, ἀριθμοστὸν ($\frac{1}{x^5} \times x^4 = \frac{1}{x}$),

ἐπὶ δὲ κυβόκυβον, ἀριθμὸν ($\frac{1}{x^5} \times x^6 = x$).

Τὸ δὲ κυβοκυβοόν, πολλαπλασιασθὲν δίδει,

ἐπὶ μὲν ἀριθμόν, δυναμοκυβοστὸν ($\frac{1}{x^6} \times x = \frac{1}{x^5}$),

ἐπὶ δὲ δύναμιν, δυναμοδυναμοστὸν ($\frac{1}{x^6} \times x^2 = \frac{1}{x^4}$),

ἐπὶ δὲ κύβον, κυβοστὸν ($\frac{1}{x^6} \times x^3 = \frac{1}{x^3}$),

ἐπὶ δὲ δυναμοδύναμιν, δυναμοστὸν ($\frac{1}{x^6} \times x^4 = \frac{1}{x^2}$),

ἐπὶ δὲ δυναμόκυβον, ἀριθμοστὸν ($\frac{1}{x^6} \times x^5 = \frac{1}{x}$).

Πλὴν πολλαπλασιασθὲν ἐπὶ πλὴν δίδει σύν, πλὴν δὲ πολλαπλασιασθὲν ἐπὶ σὺν δίδει πλήν, καὶ σημεῖον τοῦ πλὴν ἔστω ἐλλιπὲς Ψ ἀντεστραμμένον, ⩚.

Καὶ ἀφοῦ οἱ πολλαπλασιασμοὶ (τῶν δυνάμεων) ἔγιναν εἰς σὲ σαφεῖς, εἶναι φανεραὶ καὶ αἱ διαιρέσεις τῶν προκειμένων εἰδῶν. Εἶναι καλὸν λοιπόν, ἐν ᾧ ἀρχίζεις νὰ μελετᾷς τὴν πραγματείαν νὰ ἀσκηθῇς εἰς τὴν πρόσθεσιν, τὴν ἀφαίρεσιν καὶ τοὺς πολλαπλασιασμοὺς τοὺς συναφεῖς πρὸς τὰς ἀνωτέρω παραστάσεις, καὶ πῶς δύνασαι νὰ προσθέσῃς παραστάσεις ἀλγεβρικὰς θετικὰς ἤτοι καὶ αὐτοῖς ὑπάρχουσιν, ἢ καὶ ὁμοίως ὑπάρχουσι καὶ λείπουσι, καὶ πῶς ἀπὸ ὑπαρχόντων εἰδῶν καὶ ἑτέρων λειπόντων ὑφέλῃς ἕτερα ἤτοι ὑπάρχοντα, ἢ καὶ ὁμοίως ὑπάρχοντα καὶ λείποντα.

Μετὰ δὲ ταῦτα ἐὰν ἀπὸ προβλήματός τινος γένηται εἴδη τινὰ ἴσα εἴδεσι τοῖς αὐτοῖς, μὴ ὁμοπληθῆ δέ, ἀπὸ ἑκατέρων τῶν μερῶν δεήσει ἀφαιρεῖν τὰ ὅμοια ἀπὸ τῶν ὁμοίων, ἕως ἂν ἓν εἶδος ἑνὶ εἴδει ἴσον γένηται. ἐὰν δέ πως ἐν ὁποτέρῳ ἐνυπάρχῃ ἢ ἐν ἀμφοτέροις ἐν ἐλλείψεσί τινα εἴδη, δεήσει προσθεῖναι τὰ λείποντα εἴδη ἐν ἀμφοτέροις τοῖς μέρεσιν, ἕως ἂν ἑκατέρων τῶν μερῶν τὰ εἴδη ἐνυπάρχοντα γένηται, καὶ πάλιν ἀφελεῖν τὰ ὅμοια ἀπὸ τῶν ὁμοίων, ἕως ἂν ἑκατέρῳ τῶν μερῶν ἓν εἶδος καταλειφθῇ.

Φιλοτεχνείσθω δὲ τοῦτο ἐν ταῖς ὑποστάσεσι τῶν προτάσεων, ἐὰν ἐνδέχηται, ἕως ἂν ἓν εἶδος ἑνὶ εἴδει ἴσον καταλειφθῇ· ὕστερον δέ σοι δείξομεν καὶ πῶς δύο εἰδῶν ἴσων ἑνὶ καταλειφθέντων τὸ τοιοῦτον λύεται.

Νῦν δ' ἐπὶ τὰς προτάσεις χωρήσωμεν ὁδόν, πλείστην ἔχοντες τὴν ἐπ' αὐτοῖς τοῖς εἴδεσι συνηθροισμένην ὕλην. πλείστων δ' ὄντων τῷ ἀριθμῷ καὶ μεγίστων τῷ ὄγκῳ, καὶ διὰ τοῦτο βραδέως βεβαιουμένων ὑπὸ τῶν παραλαμβανόντων αὐτὰ καὶ ὄντων ἐν αὐτοῖς δυσμνημονεύτων, ἐδοκίμασα τὰ ἐν αὐτοῖς ἐπιδεχόμενα διαιρεῖν, καὶ μάλιστα τὰ ἐν ἀρχῇ ἔχοντα στοιχειωδῶς ἀπὸ ἁπλουστέρων ἐπὶ σκολιώτερα διελεῖν ὡς προσῆκεν. οὕτως γὰρ εὐόδευτα γενήσεται τοῖς ἀρχομένοις, καὶ ἡ ἀγωγὴ αὐτῶν μνημονευθήσεται, τῆς πραγματείας αὐτῶν ἐν τρισκαίδεκα βιβλίοις γεγενημένης.

α.

Τὸν ἐπιταχθέντα ἀριθμὸν διελεῖν εἰς δύο ἀριθμοὺς ἐν ὑπεροχῇ τῇ δοθείσῃ.

Ἔστω δὴ ὁ δοθεὶς ἀριθμὸς ὁ ρ̅, ἡ δὲ ὑπεροχὴ Μ̊ μ̅. εὑρεῖν τοὺς ἀριθμούς.

Τετάχθω ὁ ἐλάσσων ϛ α̅· ὁ ἄρα μείζων ἔσται ϛ α̅ Μ̊ μ̅· συναμφότεροι ἄρα γίνονται ϛ β̅ Μ̊ μ̅· δέδονται δὲ Μ̊ ρ̅.

Μ̊ ἄρα ρ̅ ἴσαι εἰσὶν ϛ β̅ Μ̊ μ̅.

καὶ ἀπὸ ὁμοίων ὅμοια. ἀφαιρῶ ἀπὸ τῶν ρ̅, Μ̊ μ̅, [καὶ <ἀπὸ> τῶν β̅ ἀριθμῶν καὶ τῶν μ̅ μονάδων ὁμοίως μονάδας μ̅.] λοιποὶ ϛ β̅ ἴσοι Μ̊ ξ̅. ἕκαστος ἄρα γίνεται ϛ, Μ̊ λ̅.

ἐπὶ τὰς ὑποστάσεις. ἔσται ὁ μὲν ἐλάσσων Μ̊ λ̅, ὁ δὲ μείζων Μ̊ ο̅, καὶ ἡ ἀπόδειξις φανερά.

β.

Τὸν ἐπιταχθέντα ἀριθμὸν δεῖ διελεῖν εἰς δύο ἀριθμοὺς ἐν λόγῳ τῷ δοθέντι.

Ἐπιτετάχθω δὴ τὸν ξ̅ διελεῖν εἰς δύο ἀριθμοὺς ἐν λόγῳ γ̅ πλ.

ἢ ἀρνητικάς μὲ διαφόρους συντελεστὰς ἢ τοὺς αὐτοὺς συντελεστάς, ἢ θετικάς ἢ καὶ θετικὰς καὶ ἀρνητικάς, καὶ πῶς ἀπὸ θετικὰς καὶ ἄλλας ἀρνητικὰς παραστάσεις δύνασαι νὰ ἀφαιρέσῃς ἄλλας ἢ θετικάς, ἢ καὶ ὁμοίως θετικὰς καὶ ἀρνητικάς.

Μετὰ δὲ ταῦτα ἐὰν ἔκ τινος προβλήματος προκύπτῃ ἐξίσωσίς τις, μὲ ὅρους ἔχοντας τὴν αὐτὴν δύναμιν καὶ διαφόρους συντελεστὰς εἰς τὰ δύο μέλη θὰ εἶναι ἀνάγκη νὰ ἀφαιρῇς ἐξ ἀμφοτέρων τῶν μελῶν τὰ ἴσα, μέχρις ὅτου ἀπομείνῃ εἷς ὅρος ἴσος πρὸς ἕνα ὅρον. Ἐὰν δὲ εἴς τι μέλος ἢ καὶ εἰς τὰ δύο μέλη τῆς ἐξισώσεως ὑπάρχουν ἀρνητικαὶ παραστάσεις, πρέπει νὰ προσθέτῃς εἰς ἀμφότερα τὰ μέλη τὰς ἀντιθέτους παραστάσεις, μέχρις ὅτου εἰς ἀμφότερα τὰ μέλη ὑπάρχουν ἀθροίσματα, καὶ πάλιν νὰ ἀφαιρῇς τὰ ἴσα ἀπὸ τῶν ἴσων, μέχρις ὅτου εἰς ἕκαστον τῶν μελῶν ἀπομείνῃ μόνον ἀνὰ εἷς ὅρος.

Νὰ ἀσκηθῇς δὲ κατὰ τοιοῦτον τρόπον εἰς τοὺς μετασχηματισμοὺς τῶν ἐξισώσεων, ἐὰν παρίσταται ἀνάγκη, μέχρις ὅτου εἰς ἕκαστον μέλος τῆς ἐξισώσεως ἀπομένῃ ἀνὰ εἷς ὅρος· ὕστερον δὲ θὰ σοῦ δείξωμεν πῶς λύεται ἡ ἐξίσωσις, ἐὰν εἰς ἕκαστον μέλος (τῆς ἰσότητος) ἔχει ἀπομείνει ἀνὰ εἷς ὅρος.

Τώρα δὲ θὰ προχωρήσωμεν εἰς τὰ προβλήματα, ἔχοντες συνηθροισμένον πολὺ συναφὲς ὑλικόν. Ἐπειδὴ δὲ εἶναι πολὺς ὁ ἀριθμὸς τούτων καὶ εἶναι λίαν ἐκτεταμένα, καὶ ἕνεκα τοῦ λόγου τούτου εἶναι βραδέως ἀφομοιώσιμα καὶ δυσμνημόνευτα, προσεπάθησα νὰ διαιρέσω τὰ δυνάμενα νὰ διαιρεθοῦν, καὶ μάλιστα τὰ ἐν ἀρχῇ ἐκτιθέμενα, νὰ διαιρέσω ἀρχόμενος ἀπὸ τῶν ἁπλουστέρων πρὸς τὰ δυσκολώτερα, ὡς ἦτο πρέπον. Διότι τοιουτοτρόπως θὰ γίνουν εὐκολονόητα εἰς τοὺς ἀρχαρίους, καὶ ἡ προέλευσις αὐτῶν θὰ ἀποτυπωθῇ εἰς τὴν μνήμην, ἐν ᾧ ἡ διαπραγμάτευσις αὐτῶν ἔχει γίνει εἰς δέκα τρία βιβλία.

1.

Δοθεὶς ἀριθμὸς νὰ διαιρεθῇ εἰς δύο ἀριθμοὺς ἔχοντας δοθεῖσαν διαφοράν.

Ἔστω ὁ δοθεὶς ἀριθμὸς ὁ 100, ἡ δὲ διαφορὰ ἔστω μονάδες 40. Νὰ εὑρεθῶσιν οἱ δύο ἀριθμοί.

Ἂς κληθῇ ὁ μικρότερος x· ὁ μεγαλύτερος ἄρα θὰ εἶναι $x + 40$· τὸ ἄθροισμά των ἄρα εἶναι $2x + 40$. ἐδόθη δὲ ἴσον πρὸς 100.

Εἶναι ἄρα $100 = 2x + 40$,

Καὶ ἀπὸ ὁμοίων δύναμαι νὰ ἀφαιρέσω τὰ ὅμοια. Ἀφαιρῶ ἐξ ἀμφοτέρων τῶν μελῶν τὰς αὐτὰς 40 μονάδας. Μένει $2x = 60$. Ἕκαστος ἄρα $x = 30$.

Ἐπὶ τῶν δεδομένων. Θὰ εἶναι ὁ μὲν μικρότερος $= 30$, ὁ δὲ μεγαλύτερος $= 70$, καὶ ἡ ἀπόδειξις εἶναι φανερά.

2.

Δοθεὶς ἀριθμὸς νὰ διαιρεθῇ εἰς δύο ἀριθμοὺς ἔχοντας δοθέντα λόγον.

Ἔστω νὰ διαιρεθῇ ὁ ἀριθμὸς 60 εἰς δύο ἀριθμοὺς ἔχοντας λόγον 3.

Ἂς κληθῇ ὁ μικρότερος x. Ὁ μεγαλύτερος ἄρα εἶναι 3x καὶ εἶναι τρι-

Τετάχθω ὁ ἐλάσσων ς $\overline{\alpha}$· ὁ ἄρα μείζων ἔσται ς $\overline{\gamma}$, καὶ ἔστιν ὁ μείζων τοῦ ἐλάσσονος τριπλασίων. δεῖ λοιπὸν τοὺς δύο ἴσους εἶναι Μ̊ $\overline{\xi}$ ἀλλ' οἱ δύο συντεθέντες ς εἰσι $\overline{\delta}$.

ς ἄρα $\overline{\delta}$ ἴσοι Μ̊ $\overline{\xi}$· ὁ ς ἄρα Μ̊ $\overline{\iota\varepsilon}$.

ὁ ἄρα ἐλάσσων ἔσται Μ̊ $\overline{\iota\varepsilon}$, ὁ δὲ μείζων Μ̊ $\overline{\mu\varepsilon}$.

γ.

Τὸν ἐπιταχθέντα ἀριθμὸν διελεῖν εἰς δύο ἀριθμοὺς ἐν λόγῳ καὶ ὑπεροχῇ τῇ δοθείσῃ.

'Επιτετάχθω δὴ τὸν $\overline{\pi}$ διελεῖν εἰς δύο ἀριθμους ἵνα ὁ μείζων τοῦ ἐλάσσονος γ$^{\pi\lambda}$ ᾖ καὶ ἔτι Μ̊ $\overline{\delta}$ ὑπερέχῃ.

Τετάχθω ὁ ἐλάσσων ς $\overline{\alpha}$, ὁ μείζων ἄρα ς $\overline{\gamma}$ καὶ Μ̊ $\overline{\delta}$· καὶ ὁ μείζων τοῦ ἐλάσσονος ὢν γ$^{\pi\lambda}$ ἔτι καὶ Μ̊ $\overline{\delta}$ ὑπερέχει. λοιπὸν τοὺς δύο θέλω ἴσους εἶναι Μ̊ $\overline{\pi}$. ἀλλ' οἱ δύο συντεθέντες ς εἰσι $\overline{\delta}$ καὶ Μ̊ $\overline{\delta}$.

ς ἄρα $\overline{\delta}$ καὶ Μ̊ $\overline{\delta}$ ἴσοι Μ̊ $\overline{\pi}$.

καὶ ἀφαιρῶ ἀπὸ ὁμοίων ὅμοια· λοιπαὶ ἄρα Μ̊ $\overline{o\varsigma}$ ἴσαι ς $\overline{\delta}$· καὶ γίνεται ὁ ς Μ̊ $\overline{\iota\theta}$.

ἐπὶ τὰς ὑποστάσεις· ἔσται ἄρα ὁ ἐλάσσων ἀριθμὸς Μ̊ $\overline{\iota\theta}$. ὁ δὲ μείζων Μ̊ $\overline{\xi\alpha}$, [προστιθεμένων τῶν $\overline{\delta}$ Μ̊ ὧν ἀφεῖλον ἀπὸ τῶν $\overline{\pi}$ Μ̊. ἀφεῖλον γὰρ ὥστε εὑρεῖν πόσων Μ̊ ἔσται ἕκαστος ἀριθμός, ὕστερον δὲ τῷ μείζονι ἀριθμῷ προστίθημι τὰς $\overline{\delta}$ Μ̊, μετὰ τὸ γνῶναι πόσων ἕκαστος].

δ.

Εὑρεῖν δύο ἀριθμοὺς ἐν λόγῳ δοθέντι ὅπως καὶ ἡ ὑπεροχὴ αὐτῶν δοθῇ.

'Επιτετάχθω δὴ τὸν μείζονα τοῦ ἐλάσσονος εἶναι ε$^{\pi\lambda}$, τὴν δὲ ὑπεροχὴν αὐτῶν ποιεῖν Μ̊ $\overline{\kappa}$.

Τετάχθω ὁ ἐλάσσων ς $\overline{\alpha}$, ὁ ἄρα μείζων ἔσται ς $\overline{\varepsilon}$. λοιπὸν θέλω ς $\overline{\varepsilon}$ ὑπερέχειν ς $\overline{\alpha}$, Μ̊ $\overline{\kappa}$· ἀλλ' ἡ ὑπεροχὴ αὐτῶν ἐστιν ς $\overline{\delta}$· οὗτοι ἴσοι Μ̊ $\overline{\kappa}$.

ἔσται ὁ ἐλάσσων ἀριθμὸς Μ̊ $\overline{\varepsilon}$, ὁ δὲ μείζων Μ̊ $\overline{\kappa\varepsilon}$ καὶ μένει ὁ μείζων τοῦ ἐλάσσονος ὢν ε$^{\pi\lambda}$, ἡ δὲ ὑπεροχὴ γίνεται Μ̊ $\overline{\kappa}$.

ε.

Τὸν ἐπιταχθέντα ἀριθμὸν διελεῖν εἰς δύο ἀριθμοὺς ὅπως ἑκατέρου τῶν διῃρημένων τὰ δοθέντα μὴ τὰ αὐτὰ μέρη συντεθέντα ποιῇ τὸν δοθέντα ἀριθμόν.

Δεῖ δὴ τὸν διδόμενον ἀριθμὸν δίδοσθαι ὥστε εἶναι ἐν τῷ μεταξὺ τόπῳ τῶν γινομένων δύο ἀριθμῶν ἐὰν τοῦ ἐξ ἀρχῆς ἐπιταχθέντος ληφθῇ τὰ δοθέντα μὴ τὰ αὐτὰ μέρη.

'Επιτετάχθω δὴ τὸν $\overline{\rho}$ διελεῖν εἰς δύο ἀριθμοὺς ὅπως τὸ τοῦ α^{ον} ἀριθμοῦ γ^{ον} καὶ τὸ τοῦ β^{ον} ε^{ον} ἐπὶ τὸ αὐτὸ συντεθέντα ποιῇ Μ̊ $\overline{\lambda}$.

πλάσιος ὁ μεγαλύτερος τοῦ μικροτέρου. Πρέπει λοιπὸν οἱ δύο νὰ ἔχωσιν ἄθροισμα 60· ἀλλὰ οἱ δύο ἀφοῦ προστεθῶσι γίνονται 4x.

Εἶναι ἄρα 4x = 60. Ὁ x ἄρα εἶναι 15.

Ὁ μικρότερος ἄρα εἶναι 15, ὁ δὲ μεγαλύτερος 45.

3.

Δοθεὶς ἀριθμὸς νὰ διαιρεθῇ εἰς δύο ἀριθμοὺς ἔχοντας λόγον καὶ διαφορὰν τὴν δοθεῖσαν.

Ἔστω νὰ διαιρεθῇ ὁ ἀριθμὸς 80 εἰς δύο ἀριθμούς, ὥστε ὁ μεγαλύτερος νὰ εἶναι τριπλάσιος τοῦ μικροτέρου καὶ νὰ ὑπερέχῃ ἀκόμη τούτου κατὰ 4.

Ἄς κληθῇ ὁ μικρότερος x, ὁ μεγαλύτερος ἄρα θὰ εἶναι 3x + 4. Καὶ ὁ μεγαλύτερος εἶναι τριπλάσιος τοῦ μικροτέρου καὶ ὑπερέχει ἀκόμη τούτου κατὰ 4. Θέλω λοιπὸν οἱ δύο οὗτοι νὰ εἶναι ἴσοι πρὸς 80. Ἀλλὰ οἱ δύο προστεθέντες εἶναι 4x + 4.

Εἶναι ἄρα 4x + 4 = 80.

Καὶ ἀφαιρῶ ἐξ ἀμφοτέρων τῶν μελῶν τὰ ἴσα· μένει ἄρα

76 = 4x· ἐξ ἧς x = 19.

Ἐπὶ τῶν δεδομένων. Θὰ εἶναι ἄρα ὁ μικρότερος ἀριθμὸς 19, ὁ δὲ μεγαλύτερος 61, [προστιθεμένων τῶν 4 μονάδων τὰς ὁποίας ἀφήρεσα ἀπὸ τοῦ 80. Διότι ἀφήρεσα, διὰ νὰ εὕρω ἐκ πόσων μονάδων θὰ εἶναι ἕκαστος ἀριθμός, ὕστερον δὲ προσθέτω εἰς τὸν μεγαλύτερον ἀριθμὸν τὰς 4 μονάδας, ἀφοῦ μάθω πόσας εἶναι ἕκαστος].

4.

Νὰ εὑρεθῶσι δύο ἀριθμοὶ ἔχοντες δοθέντα λόγον καὶ δοθεῖσαν διαφοράν.

Ἄς ληφθῇ ὁ μεγαλύτερος 5πλάσιος τοῦ μικροτέρου, ἡ δὲ διαφορὰ αὐτῶν ἂς γίνεται 20.

Ἄς κληθῇ ὁ μικρότερος x, θὰ εἶναι ἄρα ὁ μεγαλύτερος 5x. Θέλω λοιπὸν ὁ 5x νὰ διαφέρῃ τοῦ x κατὰ 20. Ἡ διαφορὰ ὅμως αὐτῶν εἶναι 4x. Αὐτη θὰ εἶναι = 20. Ὁ μικρότερος ἀριθμὸς θὰ εἶναι 5, ὁ δὲ μεγαλύτερος 25. Καὶ μένει ὁ μεγαλύτερος 5πλάσιος τοῦ μικροτέρου, ἡ δὲ διαφορὰ γίνεται 20.

5.

Ὁ δοθεὶς ἀριθμὸς νὰ διαιρεθῇ εἰς δύο ἀριθμούς, ὅπως κλασματικὰ μέρη ἑκατέρου ἐξ αὐτῶν, μὴ τὰ αὐτά, προστιθέμενα δίδωσι δοθέντα ἀριθμόν.

Πρέπει ὅμως ὁ διδόμενος ἀριθμὸς νὰ δίδεται κατὰ τοιοῦτον τρόπον, ὥστε νὰ εὑρίσκεται μεταξὺ τῶν δύο ἀριθμῶν, οἵτινες προκύπτουσιν ἐὰν τοῦ ἐξ ἀρχῆς δοθέντος ληφθῶσι δοθέντα, οὐχὶ τὰ αὐτὰ μέρη.

Ἔστω νὰ διαιρεθῇ ὁ ἀριθμὸς 100 εἰς δύο ἀριθμούς, ὥστε τὸ $\frac{1}{3}$ τοῦ πρώτου ἀριθμοῦ καὶ τὸ $\frac{1}{5}$ τοῦ δευτέρου ἀριθμοῦ προστιθέμενα νὰ δίδωσι 30.

Λαμβάνω τὸ $\frac{1}{5}$ τοῦ δευτέρου = x· ὁ δεύτερος ἄρα = 5x· τὸ $\frac{1}{3}$ ἄρα

Ἔταξα τὸ τοῦ β^{ου} ε^{ον}, ς α̅· αὐτὸς ἄρα ἔσται ς ε̅· τὸ ἄρα τοῦ α^{ου} γ^{ον} ἔσται Μ̊ λ̅ ⋔ ς α̅· αὐτὸς ἄρα ἔσται Μ̊ ϙ̅ ⋔ ς γ̅. λοιπὸν θέλω τοὺς δύο συντεθέντας ποιεῖν Μ̊ ρ̅. ἀλλ' οἱ δύο συντεθέντες ποιοῦσιν ς β̅ καὶ Μ̊ ϙ̅. ταῦτα ἴσα Μ̊ ρ̅.

καὶ ἀπὸ ὁμοίων ὅμοια. λοιπαὶ ἄρα Μ̊ ι̅ ἴσαι ς β̅. [ὁ ς ἄρα ἔσται Μ̊ ε̅].

ἐπὶ τὰς ὑποστάσεις. ἔταξα τὸ τοῦ β^{ου} ε^{ον} ς α̅, ἔσται Μ̊ ε̅, αὐτὸς ἄρα Μ̊ κ̅ε̅. τὸ δὲ τοῦ α^{ου} γ^{ον}, Μ̊ λ̅ ⋔ ς α̅, ἔσται Μ̊ κ̅ε̅, αὐτὸς ἄρα ἔσται Μ̊ ο̅ε̅. καὶ μένει τὸ τοῦ α^{ου} γ^{ον} καὶ τὸ τοῦ β^{ου} ε^{ον} Μ̊ λ̅, (ἅπερ κοινῇ συντεθέντα ποιοῦσι τὸν ἐπιταχθέντα ἀριθμόν].

ς.

Τὸν ἐπιταχθέντα ἀριθμὸν διελεῖν εἰς δύο ἀριθμοὺς ὅπως τὸ τοῦ πρώτου μέρος δοθὲν τοῦ τοῦ ἑτέρου μέρους δοθέντος ὑπερέχῃ δοθέντι ἀριθμῷ.

Δεῖ δὴ τὸν δοθέντα ἀριθμὸν ἐλάσσονα εἶναι τοῦ γινομένου ἀριθμοῦ ἐὰν τοῦ ἐξ ἀρχῆς ἐπιταχθέντος ληφθῇ τὸ δοθὲν μέρος ἐν ᾧ ἐστιν ἡ ὑπεροχή.

Ἐπιτετάχθω δὴ τὸν ρ̅ διελεῖν εἰς δύο ἀριθμοὺς ὅπως τὸ τοῦ α^{ου} δ^{ον} τοῦ τοῦ β^{ου} ς^{ου} ὑπερέχῃ Μ̊ κ̅.

Ἔταξα τὸ τοῦ β^{ου} ς^{ον}, ς α̅· αὐτὸς ἄρα ἔσται ς ς̅. τὸ ἄρα τοῦ α^{ου} δ^{ον} ἔσται ς α̅ καὶ Μ̊ κ̅, αὐτὸς ἄρα ἔσται ς δ̅ καὶ Μ̊ π̅. λοιπὸν θέλω τοὺς δύο συντεθέντας ποιεῖν Μ̊ ρ̅· ἀλλ' οἱ δύο συντεθέντες ποιοῦσιν ς ι̅ καὶ Μ̊ π̅· ταῦτα ἴσα Μ̊ ρ̅.

ἀπὸ ὁμοίων ὅμοια. λοιπὸν ς ι̅ ἴσοι Μ̊ κ̅, καὶ γίνεται ὁ ς Μ̊ β̅.

ἐπὶ τὰς ὑποστάσεις. ἔταξα τὸ τοῦ β^{ου} ς^{ον}, ς α̅· ἔσται Μ̊ β̅, αὐτὸς ἄρα ἔσται Μ̊ ι̅β̅· τὸ δὲ τοῦ α^{ου} δ^{ον}, ς α̅ καὶ Μ̊ κ̅· ἔσται Μ̊ κ̅β̅, αὐτὸς ἄρα ἔσται Μ̊ π̅η̅. καὶ μένει τὸ τοῦ α^{ου} δ^{ον} τοῦ τοῦ β^{ου} ς^{ου} ὑπερέχον Μ̊ κ̅, [οἵτινες κοινῇ συντεθέντες ποιοῦσι τὸν ἐπιταχθέντα ἀριθμόν].

ζ.

Ἀπὸ τοῦ αὐτοῦ ἀριθμοῦ ἀφελεῖν δύο δοθέντας ἀριθμοὺς καὶ ποιεῖν τοὺς λοιποὺς πρὸς ἀλλήλους λόγον ἔχειν δεδομένον.

Ἐπιτετάχθω δὴ ἀπὸ τοῦ αὐτοῦ ἀριθμοῦ ἀφελεῖν τὸν ρ̅ καὶ τὸν κ̅, καὶ ποιεῖν τὰ μείζονα τῶν ἐλασσόνων γ^{πλ}.

Τετάχθω ὁ ζητούμενος ς α̅· κἂν μὲν ἀπὸ τούτου ἀφέλω τὸν ρ̅, λοιπὸς ς α̅ ⋔ Μ̊ ρ̅· ἐὰν δὲ τὸν κ̅, λοιπὸς ς α̅ ⋔ Μ̊ κ̅. καὶ δεήσει τὰ μείζονα τῶν ἐλασσόνων εἶναι γ^{πλ}· τρὶς ἄρα τὰ ἐλάσσονα ἴσα ἐστὶ τοῖς μείζοσι, τρὶς δὲ τὰ ἐλάσσονα γίνεται ς γ̅ ⋔ Μ̊ τ̅. ταῦτα ἴσα ς α̅ ⋔ Μ̊ κ̅.

κοινὴ προσκείσθω ἡ λεῖψις· γίνεται ς γ̅ ἴσοι ς α̅ καὶ Μ̊ σ̅π̅. καὶ ἀφῃρήσθω ἀπὸ ὁμοίων ὅμοια. λοιπὸν ς β̅ ἴσοι Μ̊ σ̅π̅, καὶ γίνεται ὁ ς Μ̊ ρ̅μ̅.

ἐπὶ τὰς ὑποστάσεις. ἔταξα τὸν ζητούμενον ἀριθμὸν ς α̅, ἔσται ἄρα Μ̊ ρ̅μ̅. κἂν μὲν ἀπὸ τούτου ἀφέλω τὸν ρ̅, λοιπαὶ Μ̊ μ̅· ἐὰν δὲ τὸν κ̅, λοιπαὶ Μ̊ ρ̅κ̅. καὶ μένει τὰ μείζονα τῶν ἐλασσόνων τριπλάσια.

τοῦ πρώτου θὰ εἶναι 30 — x· ὁ πρῶτος ἄρα θὰ εἶναι 90 — 3x. Θέλω λοιπὸν τὸ ἄθροισμα τῶν δύο νὰ δίδῃ 100. ($90 - 3x + 5x = 100$). Ἀλλ' οἱ δύο προστεθέντες δίδουν $2x + 90 = 100$.

Ἀφαιρῶ ἐξ ἀμφοτέρων τῶν μελῶν τὰ ἴσα. Θὰ μείνῃ ἄρα $10 = 2x$. [ὁ x ἄρα = 5].

Ἐπὶ τῶν δεδομένων. Ἔλαβα τὸ $\frac{1}{5}$ τοῦ δευτέρου $x = 5$, ὁ δεύτερος ἄρα = 25. Τὸ δὲ $\frac{1}{3}$ τοῦ πρώτου $= 30 - x$ ἤτοι = 25, ὁ πρῶτος ἄρα = 75. Καὶ μένει $\frac{1}{3}$ τοῦ πρώτου (τὸ 25) + $\frac{1}{5}$ τοῦ δευτέρου (τὸ 5) = 30 [τὰ ὁποῖα προστιθέμενα δίδουσι τὸν ἀριθμόν].

6.

Ὁ δοθεὶς ἀριθμὸς νὰ διαιρεθῇ εἰς δύο ἀριθμούς, ὅπως δοθὲν μέρος τοῦ πρώτου ὑπερέχῃ δοθέντος μέρους τοῦ δευτέρου κατὰ δοθέντα ἀριθμόν.

Πρέπει ὅμως ὁ δοθεὶς (δεύτερος) ἀριθμὸς νὰ εἶναι μικρότερος τοῦ ἀριθμοῦ τοῦ προκύπτοντος, ἐὰν τοῦ ἐξ ἀρχῆς δοθέντος ληφθῇ τὸ δοθὲν μέρος ὅπου εἶναι ἡ ὑπεροχή.

Ἔστω νὰ διαιρεθῇ ὁ 100 εἰς δύο ἀριθμούς (x_1, x_2) ὥστε τό, $\frac{x_1}{4} - \frac{x_2}{6} = 20$.

Λαμβάνω $\frac{x_2}{6} = x$. Θὰ εἶναι ἄρα ὁ $x_2 = 6x$. Θὰ εἶναι ἑπομένως $\frac{x_1}{4} = x + 20$, εἶναι ἄρα $x_1 = 4x + 80$. Θέλω λοιπὸν τὸ ἄθροισμα τῶν δύο νὰ εἶναι 100. Ἀλλὰ οἱ δύο προστιθέμενοι ($x_1 + x_2$) δίδουν $10x + 80 = 100$. Ἀφαιρῶ ἐξ ἀμφοτέρων τῶν μελῶν τὰ ἴσα. Λαμβάνω $10x = 20$ καὶ $x = 2$.

Ἐπὶ τῶν δεδομένων. Ἔλαβον $\frac{x_2}{6} = x$· ὅπερ εἶναι 2, ὅτε $x_2 = 12$· τὸ δὲ $\frac{x_1}{4} = x + 20$. ἑπομένως = 22, εἶναι ἄρα $x_1 = 88$. Καὶ μένει $\frac{x_1}{4} - \frac{x_2}{6} = 20$, [οἵτινες ($x_1 + x_2$) προστιθέμενοι δίδουσι τὸν δοθέντα ἀριθμόν].

7.

Ἀπὸ τοῦ αὐτοῦ ἀριθμοῦ νὰ ἀφαιρεθῶσι δύο δοθέντες ἀριθμοὶ καὶ ἡ μία διαφορὰ πρὸς τὴν ἄλλην νὰ ἔχῃ λόγον δεδομένον.

Ἔστω νὰ ἀφαιρεθῇ ἀπὸ τοῦ αὐτοῦ ἀριθμοῦ ὁ 100 καὶ ὁ 20 καὶ ἡ μεγαλυτέρα διαφορὰ νὰ εἶναι τριπλασία τῆς μικροτέρας.

Ἄς κληθῇ ὁ ζητούμενος x· καὶ ἂν μὲν ἀπὸ τούτου ἀφαιρέσω τὸν 100, ἡ διαφορὰ θὰ εἶναι $x - 100$· ἐὰν δὲ τὸν 20, ἡ διαφορὰ θὰ εἶναι $x - 20$. Καὶ θὰ εἶναι ἀνάγκη ἡ μεγαλυτέρα διαφορὰ νὰ εἶναι τριπλασία τῆς μικροτέρας· τρεῖς ἄρα φορὰς ἡ μικροτέρα ἰσοῦται πρὸς τὴν μεγαλυτέραν, τρεῖς δὲ φορὰς ἡ μικροτέρα γίνεται $3x - 300$. Ταῦτα εἶναι $= x - 20$. Προσθέτω εἰς ἀμφότερα τὰ μέλη 300 καὶ λαμβάνω $3x = x + 280$. Καὶ ἀφαιρῶ ἐξ ἀμφοτέρων τῶν μελῶν τὰ ἴσα. Ὅθεν $2x = 280$, καὶ γίνεται ὁ $x = 140$.

η.

Δυσὶ δοθεῖσιν ἀριθμοῖς προσθεῖναι τὸν αὐτὸν ἀριθμὸν καὶ ποιεῖν τοὺς γενομένους πρὸς ἀλλήλους λόγον ἔχειν δεδομένον.

Δεῖ δὴ τὸν διδόμενον λόγον ἐλάσσονα εἶναι τοῦ λόγου οὗ ἔχει ὁ μείζων τῶν δοθέντων πρὸς τὸν ἐλάσσονα.

Ἐπιτετάχθω δὴ τῷ ρ̄ καὶ τῷ κ̄ προσθεῖναι τὸν αὐτὸν ἀριθμὸν καὶ ποιεῖν τὰ μείζονα τῶν ἐλασσόνων γ^{πλ}.

Τετάχθω ὁ προστιθέμενος ἑκατέρῳ ἀριθμῷ ϛ ᾱ. κἂν μὲν τῷ ρ̄ προστεθῇ, ἔσται ϛ ᾱ Μ̊ ρ̄· ἐὰν δὲ τῷ κ̄, γίνεται ϛ ᾱ Μ̊ κ̄. καὶ δεήσει τὰ μείζονα τῶν ἐλασσόνων εἶναι γ^{πλ}· τρὶς ἄρα τὰ ἐλάσσονα ἴσα ἔσται τοῖς μείζοσι. τρὶς δὲ τὰ ἐλάσσονα γίνεται ϛ γ̄ Μ̊ ξ̄· ταῦτα ἴσα ϛ ᾱ Μ̊ ρ̄.

ἀπὸ ὁμοίων ὅμοια. λοιποὶ ϛ β̄ ἴσοι Μ̊ μ̄, καὶ γίνεται ὁ ϛ Μ̊ κ̄.

ἐπὶ τὰς ὑποστάσεις. ἔταξα τὸν προστιθέμενον ἑκατέρῳ ἀριθμῷ ϛ ᾱ, ἔσται Μ̊ κ̄. κἂν μὲν τῷ ρ̄ προστεθῇ, γίνονται Μ̊ ρ̄κ̄· ἐὰν δὲ τῷ κ̄, γίνονται Μ̊ μ̄. καὶ μένει τὰ μείζονα τῶν ἐλασσόνων τριπλάσια.

θ.

Ἀπὸ δοθέντων δύο ἀριθμῶν ἀφελεῖν τὸν αὐτὸν ἀριθμὸν καὶ ποιεῖν τοὺς λοιποὺς πρὸς ἀλλήλους λόγον ἔχειν δεδομένον.

Δεῖ δὴ τὸν διδόμενον λόγον μείζονα εἶναι τοῦ λόγου οὗ ἔχει ὁ μείζων τῶν δοθέντων πρὸς τὸν ἐλάσσονα.

Ἐπιτετάχθω δὴ ἀπὸ τοῦ κ̄ καὶ τοῦ ρ̄ ἀφελεῖν τὸν αὐτὸν ἀριθμὸν καὶ ποιεῖν τὰ μείζονα τῶν ἐλασσόνων ς^{πλ}.

Τετάχθω ὁ ἀφαιρούμενος ἀφ' ἑκατέρου ἀριθμοῦ, ϛ ᾱ. κἂν μὲν ἀπὸ τοῦ ρ̄ ἀφαιρεθῇ, λοιπαὶ Μ̊ ρ̄ ⋔ ϛ ᾱ· ἐὰν δὲ ἀπὸ τοῦ κ̄, λοιπαὶ Μ̊ κ̄ ⋔ ϛ ᾱ. καὶ δεήσει τὰ μείζονα τῶν ἐλασσόνων εἶναι ς^{πλ}· ς^{κις} ἄρα τὰ ἐλάσσονα ἴσα ἐστὶ τοῖς μείζοσιν, ς^{κις} δὲ τὰ ἐλάσσονα ποιεῖ Μ̊ ρ̄κ̄ ⋔ ϛ ς̄· ταῦτα ἴσα Μ̊ ρ̄ ⋔ ϛ ᾱ.

κοινὴ προσκείσθω ἡ λεῖψις, καὶ ἀφῃρήσθω ἀπὸ ὁμοίων ὅμοια. λοιποὶ ϛ ε̄ ἴσοι Μ̊ κ̄, καὶ γίνεται ὁ ϛ Μ̊ δ̄.

ἐπὶ τὰς ὑποστάσεις. ἔταξα τὸν ἀφαιρούμενον ἀφ' ἑκατέρου ἀριθμοῦ ϛ ᾱ, ἔσται Μ̊ δ̄. κἂν μὲν ἀπὸ τοῦ ρ̄ ἀφαιρεθῇ, λοιπαὶ Μ̊ ϙ̄ς̄· ἐὰν δὲ ἀπὸ τοῦ κ̄, λοιπαὶ Μ̊ ῑς̄ καὶ μένει τὰ μείζονα τῶν ἐλασσόνων ὄντα ἑξαπλάσια.

Ἐπὶ τῶν δεδομένων. Ἐκάλεσα τὸν ζητούμενον ἀριθμὸν x, θὰ εἶναι ἄρα 140. Καὶ ἂν μὲν ἀπὸ τούτου ἀφαιρέσω τὸν 100, ἡ διαφορὰ εἶναι 40· ἐὰν δὲ τὸν 20, ἡ διαφορὰ εἶναι 120. Καὶ ἡ μεγαλυτέρα διαφορὰ εἶναι τριπλασία τῆς μικροτέρας.

8.

Εἰς δύο δοθέντας ἀριθμοὺς νὰ προστεθῇ ὁ αὐτὸς ἀριθμὸς ὥστε οἱ προκύπτοντες νὰ ἔχωσι λόγον πρὸς ἀλλήλους δεδομένον.

Πρέπει ὅμως ὁ διδόμενος λόγος νὰ εἶναι μικρότερος τοῦ λόγου, τὸν ὁποῖον ἔχει ὁ μεγαλύτερος ἐκ τῶν δοθέντων πρὸς τὸν μικρότερον.

Ἔστω ὅτι πρέπει νὰ προστεθῇ εἰς τὸν 100 καὶ τὸν 20 ὁ αὐτὸς ἀριθμὸς οὕτως, ὥστε τὸ μεγαλύτερον ἄθροισμα νὰ εἶναι τριπλάσιον τοῦ μικροτέρου.

Ἂς κληθῇ ὁ προστιθέμενος εἰς ἑκάτερον ἀριθμὸν x. Καὶ ἂν μὲν προστεθῇ εἰς τὸν 100 θὰ εἶναι $x + 100$. Ἐὰν δὲ εἰς τὸν 20 θὰ εἶναι $x + 20$. Καὶ θὰ εἶναι ἀνάγκη τὸ μεγαλύτερον ἄθροισμα νὰ εἶναι τριπλάσιον τοῦ μικροτέρου· εἶναι ἄρα τὸ τριπλάσιον τοῦ μικροτέρου ἴσον πρὸς τὸ μεγαλύτερον. Εἶναι δὲ τρεῖς φορὰς τὸ μικρότερον ἄθροισμα $3x + 60 = x + 100$. Ἀφαιρῶ ἐξ ἀμφοτέρων τῶν μελῶν τὰ ἴσα. Θὰ ἔχω ἄρα $2x = 40$ καὶ $x = 20$.

Ἐπὶ τῶν δεδομένων. Ὠνόμασα x τὸν προστιθέμενον εἰς ἑκάτερον τῶν ἀριθμῶν καὶ εἶναι οὗτος 20. Καὶ ἂν μὲν προστεθῇ οὗτος εἰς τὸν 100 γίνεται 120. ἐὰν δὲ εἰς τὸν 20 γίνεται 40. Καὶ εἶναι τὸ μεγαλύτερον ἄθροισμα τριπλάσιον τοῦ μικροτέρου.

9.

Ἀπὸ δύο δοθέντων ἀριθμῶν ν' ἀφαιρεθῇ ὁ αὐτὸς ἀριθμός, ὥστε ἡ μία διαφορὰ πρὸς τὴν ἄλλην νὰ ἔχῃ λόγον δεδομένον.

Πρέπει δὲ ὁ διδόμενος λόγος τῶν διαφορῶν νὰ εἶναι μεγαλύτερος τοῦ λόγου τοῦ μεγαλυτέρου τῶν δοθέντων πρὸς τὸν μικρότερον.

Ἔστω ν' ἀφαιρεθῇ ἀπὸ τοῦ 20 καὶ τοῦ 100 ὁ αὐτὸς ἀριθμός, ὥστε νὰ εἶναι ἡ μεγαλυτέρα διαφορὰ ἑξαπλασία τῆς μικροτέρας.

Ἂς κληθῇ ὁ ἀφαιρούμενος ἐξ ἑκατέρου ἀριθμοῦ x. Καὶ ἂν μὲν ἀφαιρεθῇ ἀπὸ τοῦ 100 θὰ εἶναι $100 - x$· ἐὰν δὲ ἀπὸ τοῦ 20 θὰ εἶναι $20 - x$. Καὶ εἶναι ἀνάγκη ἡ μεγαλυτέρα διαφορὰ νὰ εἶναι ἑξαπλασία τῆς μικροτέρας· εἶναι ἄρα ἑξάκις ἡ μικροτέρα διαφορὰ ἴση πρὸς τὴν μεγαλυτέραν, ἤτοι $120 - 6x = 100 - x$.

Ἂς προστεθῇ εἰς ἀμφότερα τὰ μέλη ἡ λεῖψις ($6x$) καὶ ἂς ἀφαιρεθοῦν ἀπὸ ἀμφότερα τὰ μέλη τὰ ἴσα (100). Ὅτε λαμβάνομεν $20 = 5x$, καὶ $x = 4$.

Ἐπὶ τῶν δεδομένων. Ἐκάλεσα τὸν ἀφαιρούμενον ἐξ ἑκατέρου ἀριθμοῦ x, ὅστις εἶναι 4. Καὶ ἂν μὲν ἀφαιρεθῇ ἀπὸ τοῦ 100, θὰ μείνῃ 96. Ἐὰν δὲ ἀπὸ τοῦ 20 θὰ μείνῃ 16. Καὶ εἶναι $96 = 6 \cdot 16$.

ι.

Δυσὶ δοθεῖσιν ἀριθμοῖς, τῷ μὲν ἐλάσσονι αὐτῶν προσθεῖναι, ἀπὸ δὲ τοῦ μείζονος ἀφελεῖν τὸν αὐτὸν ἀριθμὸν καὶ ποιεῖν τὸν γενόμενον πρὸς τὸν λοιπὸν λόγον ἔχειν δεδομένον.

Ἐπιτετάχθω τῷ μὲν κ̅ προσθεῖναι, ἀπὸ δὲ τοῦ ρ̅ ἀφελεῖν τὸν αὐτὸν ἀριθμὸν καὶ ποιεῖν τὰ μείζονα τῶν ἐλασσόνων $δ^{πλ}$.

Τετάχθω ὁ προστιθέμενος καὶ ἀφαιρούμενος ἑκατέρῳ ἀριθμῷ ς α̅. κἂν μὲν τῷ κ̅ προστεθῇ, γίνεται ς α̅ Μ̊ κ̅· ἐὰν δὲ τοῦ ρ̅ ἀφαιρεθῇ, γίνεται Μ̊ ρ̅ ⋔ ς α̅ καὶ δεήσει τὰ μείζονα τῶν ἐλασσόνων εἶναι $δ^{πλ}$· $δ^{κις}$ ἄρα τὰ ἐλάσσονα ἴσα ἐστὶ τοῖς μείζοσι, $δ^{κις}$ δὲ τὰ ἐλάσσονα γίνεται Μ̊ υ̅ ⋔ ς δ̅. ταῦτα ἴσα ς α̅ Μ̊ κ̅.

κοινὴ προσκείσθω ἡ λεῖψις, καὶ ἀφῃρήσθω ἀπὸ ὁμοίων ὅμοια. λοιποὶ ς ε̅ ἴσοι Μ̊ τ̅π̅, καὶ γίνεται ὁ ς Μ̊ ο̅ς̅.

ἐπὶ τὰς ὑποστάσεις. ἔταξα τὸν προστιθέμενον καὶ ἀφαιρούμενον ἀφ' ἑκατέρου ἀριθμοῦ ς α̅, ἔσται Μ̊ ο̅ς̅. κἂν μὲν τῷ κ̅ Μ̊ ο̅ς̅ προστεθῶσι, γίνονται Μ̊ ϟ̅ς̅· ἐὰν δὲ τοῦ ρ̅ ἀφαιρεθῶσι, λοιπαὶ Μ̊ κ̅δ̅. καὶ μένει τὰ μείζονα τῶν ἐλασσόνων ὄντα τετραπλάσια.

ια.

Δύο δοθέντας ἀριθμοὺς ὃν μὲν προσθεῖναι, τὸν δὲ ἕτερον ἀφελεῖν ἀπὸ τοῦ αὐτοῦ ἀριθμοῦ, καὶ ποιεῖν τοὺς γενομένους πρὸς ἀλλήλους λόγον ἔχειν δεδομένον.

Ἐπιτετάχθω τὸν μὲν κ̅ προσθεῖναι, τὸν δὲ ρ̅ ἀφελεῖν ἀπὸ τοῦ αὐτοῦ ἀριθμοῦ καὶ ποιεῖν τὰ μείζονα τῶν ἐλασσόνων $γ^{πλ}$.

Ἔστω ὁ ζητούμενος ς α̅. κἂν μὲν τούτῳ προσθῶμεν Μ̊ κ̅, γίνεται ς α̅ Μ̊ κ̅· ἐὰν δὲ ἀπὸ τούτου ἀφαιρεθῶσι Μ̊ ρ̅, λοιπὸς ς α̅ ⋔ Μ̊ ρ̅. καὶ δεήσει τὰ μείζονα τῶν ἐλασσόνων εἶναι $γ^{πλ}$· τρὶς ἄρα τὰ ἐλάσσονα ἴσα ἐστὶ τοῖς μείζοσι. ἀλλὰ τρὶς τὰ ἐλάσσονα γίνεται ς γ̅ ⋔ Μ̊ τ̅.

ς ἄρα γ̅ ⋔ Μ̊ τ̅ ἴσα ἐστὶ ς α̅ Μ̊ κ̅.

κοινὴ προσκείσθω ἡ λεῖψις, καὶ ἀφῃρήσθω ἀπὸ ὁμοίων ὅμοια.

Μ̊ τ̅κ̅ ἄρα ἴσα εἰσὶν ς β̅, καὶ γίνεται ὁ ς Μ̊ ρ̅ξ̅.

ἐπὶ τὰς ὑποστάσεις. ἔσται ἄρα ὁ μὲν μείζων Μ̊ ρ̅π̅, ὁ δὲ ἀλάσσων Μ̊ ξ̅. καὶ μένει τὰ μείζονα τῶν ἐλασσόνων τριπλάσια.

ιβ.

Τὸν ἐπιταχθέντα ἀριθμὸν διελεῖν εἰς δύο ἀριθμοὺς δίς, ὅπως ὁ εἷς τῶν ἐκ τῆς πρώτης διαιρέσεως πρὸς ἕνα τῶν ἐκ τῆς δευτέρας διαιρέσεως λόγον

10.

Ἐὰν δοθῶσι δύο ἀριθμοί, εἰς μὲν τὸν μικρότερον νὰ προστεθῇ, εἰς δὲ τὸν μεγαλύτερον νὰ ἀφαιρεθῇ ὁ αὐτὸς ἀριθμὸς καὶ τὸ ἄθροισμα πρὸς τὴν διαφορὰν νὰ ἔχῃ λόγον δεδομένον.

Ἂς προστεθῇ μὲν εἰς τὸν 20, ἂς ἀφαιρεθῇ δὲ ἀπὸ τοῦ 100 ὁ αὐτὸς ἀριθμός, ὥστε ἐκ τῶν προκυπτόντων ὁ μεγαλύτερος νὰ εἶναι τετραπλάσιος τοῦ μικροτέρου.

Ἂς κληθῇ ὁ προστιθέμενος καὶ ἀφαιρούμενος εἰς ἑκάτερον ἀριθμὸν x. Καὶ ἂν μὲν προστεθῇ εἰς τὸν 20, γίνεται $x + 20$· ἐὰν δὲ ἀφαιρεθῇ ἀπὸ τοῦ 100, γίνεται $100 - x$. Καὶ εἶναι ἀνάγκη ὁ μεγαλύτερος νὰ εἶναι τετραπλάσιος τοῦ μικροτέρου· τὰ τετραπλάσια ἄρα τοῦ μικροτέρου εἶναι ἴσα πρὸς τὸν μεγαλύτερον, γίνεται δὲ $400 - 4x = x + 20$.

Ἂς προστεθῇ εἰς ἀμφότερα τὰ μέλη ἡ λεῖψις ($4x$), καὶ ἂς ἀφαιρεθῇ τὸ ἴσον ἀπὸ ἀμφότερα τὰ μέλη. Ὅτε λαμβάνομεν $380 = 5x$, καὶ $x = 76$.

Ἐπὶ τῶν δεδομένων. Ἐκάλεσα τὸν προστιθέμενον καὶ ἀφαιρούμενον ἐξ ἑκατέρου ἀριθμοῦ x, ὅστις εἶναι $= 76$. Καὶ ἂν μὲν ὁ 76 προστεθῇ εἰς τὸ 20, γίνεται 96· ἐὰν δὲ ἀφαιρεθῇ ἀπὸ τοῦ 100, μένει 24. Καὶ εἶναι ὁ μεγαλύτερος τετραπλάσιος τοῦ μικροτέρου.

11.

Δύο δοθέντας ἀριθμοὺς τὸν μὲν νὰ προσθέσωμεν, τὸν δὲ νὰ ἀφαιρέσωμεν ἀπὸ τοῦ αὐτοῦ ἀριθμοῦ, ὥστε οἱ προκύπτοντες νὰ ἔχωσι πρὸς ἀλλήλους δεδομένον λόγον.

Ἂς ὁρισθῇ ὁ μὲν 20 νὰ προστεθῇ, ὁ δὲ 100 νὰ ἀφαιρεθῇ ἀπὸ τοῦ αὐτοῦ ἀριθμοῦ, ὥστε ὁ προκύπτων μεγαλύτερος νὰ εἶναι τριπλάσιος τοῦ μικροτέρου.

Ἔστω ὁ ζητούμενος x. Καὶ ἂν μὲν εἰς τοῦτον προσθέσωμεν 20, γίνεται $x + 20$· ἐὰν δὲ ἀπὸ τούτου ἀφαιρέσωμεν 100, λαμβάνομεν $x - 100$. Καὶ εἶναι ἀνάγκη ὁ μεγαλύτερος νὰ εἶναι τριπλάσιος τοῦ μικροτέρου· τρεῖς φορὰς ἄρα ὁ μικρότερος γίνεται ἴσος πρὸς τὸν μεγαλύτερον. Ἀλλὰ τρεῖς φορὰς ὁ μικρότερος γίνεται $3x - 300$.

Εἶναι ἄρα $3x - 300 = x + 20$.

Ἂς προστεθῇ εἰς ἀμφότερα τὰ μέλη ὁ πρὸς ἀφαίρεσιν καὶ ἂς ἀφαιρεθῶσι τὰ ἴσα.

Εἶναι ἄρα $320 = 2x$, καὶ $x = 160$.

Ἐπὶ τῶν δεδομένων. Θὰ εἶναι ἄρα ὁ μὲν μεγαλύτερος 180 ὁ δὲ μικρότερος 60. Καὶ εἶναι ὁ μεγαλύτερος τριπλάσιος τοῦ μικροτέρου.

12.

Τὸν ἐπιταχθέντα ἀριθμὸν νὰ διαιρέσωμεν εἰς δύο ἀριθμοὺς δίς, ὅπως ὁ εἷς τῶν ἐκ τῆς πρώτης διαιρέσεως πρὸς ἕνα τῶν ἐκ τῆς δευτέρας διαιρέσεως *ἔχῃ δεδομένον, ὁ δὲ λοιπὸς τῶν ἐκ τῆς δευτέρας διαιρέσεως πρὸς τὸν λοιπὸν τὸν ἐκ τῆς πρώτης διαιρέσεως λόγον ἔχῃ δεδομένον.*

Ἐπιτετάχθω δὴ τὸν ρ̄ διελεῖν εἰς δύο ἀριθμοὺς δίς, ὅπως ὁ μείζων τῶν ἐκ τῆς αης διαιρέσεως τοῦ ἐλάσσονος τῶν ἐκ τῆς βας διαιρέσεως ᾖ βπλ, ὁ δὲ μείζων τῶν ἐκ τῆς βας διαιρέσεως τοῦ ἐλάσσονος τῶν ἐκ τῆς αης διαιρέσεως ᾖ γπλ.

Τετάχθω ὁ ἐλάσσων ὁ ἐκ τῆς βας διαιρέσεως ϛ ᾱ, ὁ ἄρα μείζων τῶν ἐκ τῆς αης διαιρέσεως ἔσται ϛ β̄· ὁ ἐλάσσων ἄρα τῶν ἐκ τῆς αης διαιρέσεως ἔσται Μ̊ ρ̄ ⋔ ϛ β̄· καὶ ἐπεί ἐστιν αὐτοῦ τριπλασίων ὁ μείζων τῶν ἐκ τῆς βας διαιρέσεως, ἔσται Μ̊ τ̄ ⋔ ϛ ϛ̄. λοιπόν ἐστι καὶ τοὺς τῆς βας διαιρέσεως συντεθέντας ποιεῖν Μ̊ ρ̄· ἀλλὰ συντεθέντες ποιοῦσι Μ̊ τ̄ ⋔ ϛ ε̄· ταῦτα ἴσα Μ̊ ρ̄, καὶ γίνεται ὁ ϛ Μ̊ μ̄.

ἐπὶ τὰς ὑποστάσεις. ἔταξα τὸν μείζονα τῶν ἐκ τῆς αης διαιρέσεως ϛ β̄, ἔσται Μ̊ π̄· τὸν δὲ ἐλάσσονα ‹τῶν ἐκ› τῆς αὐτῆς διαιρέσεως Μ̊ ρ̄ ⋔ ϛ β̄, ἔσται Μ̊ κ̄· τὸν δὲ μείζονα τὸν ἐκ τῆς βας διαιρέσεως Μ̊ τ̄ ⋔ ϛ ϛ̄, ἔσται Μ̊ ξ̄· τὸν δὲ ἐλάσσονα τὸν ἐκ τῆς βας διαιρέσεως ϛ ᾱ, ἔσται Μ̊ μ̄. καὶ φανερὰ ἡ ἀπόδειξις.

ιγ.

Τὸν ἐπιταχθέντα ἀριθμὸν διελεῖν εἰς δύο ἀριθμοὺς τρίς, ὅπως ὁ εἷς τῶν ἐκ τῆς πρώτης διαιρέσεως πρὸς ἕνα τῶν ἐκ τῆς δευτέρας διαιρέσεως λόγον ἔχῃ δεδομένον, ὁ δὲ λοιπὸς τῶν ἐκ τῆς δευτέρας διαιρέσεως πρὸς ἕνα τῶν ἐκ τῆς τρίτης διαιρέσεως λόγον ἔχῃ δεδομένον, καὶ ἔτι ὁ λοιπὸς τῶν ἐκ τῆς τρίτης διαιρέσεως πρὸς τὸν λοιπὸν τὸν ἐκ τῆς πρώτης διαιρέσεως λόγον ἔχῃ δεδομένον.

Ἐπιτετάχθω δὴ τὸν ρ̄ διελεῖν εἰς δύο ἀριθμοὺς τρίς, ὅπως ὁ μείζων τῶν ἐκ τῆς αης διαιρέσεως τοῦ ἐλάσσονος τῶν ἐκ τῆς βας ᾖ γπλ, ὁ δὲ μείζων τῶν ἐκ τῆς βας διαιρέσεως τοῦ ἐλάσσονος τῶν ἐκ τῆς γης ᾖ βπλ, καὶ ἔτι ὁ μείζων τῶν ἐκ τῆς γης διαιρέσεως τοῦ ἐλάσσονος τῶν ἐκ τῆς αης ᾖ δπλ.

Τετάχθω ὁ ἐλάσσων τῶν ἐκ τῆς γης διαιρέσεως ϛ ᾱ· ὁ ἄρα μείζων τῶν ἐκ τῆς βας διαιρέσεως ἔσται ϛ β̄. καὶ ἐπεὶ ὅλη ἡ διαίρεσίς ἐστι Μ̊ ρ̄. ὁ ἄρα ἐλάσσων τῶν ἐκ τῆς βας διαιρέσεως ἔσται Μ̊ ρ̄ ⋔ ϛ β̄. καὶ ἐπεί ἐστιν αὐτοῦ γπλ ὁ μείζων τῶν ἐκ τῆς αης διαιρέσεως, ἔσται Μ̊ τ̄ ⋔ ϛ ϛ̄· ὁ ἄρα ἐλάσσων τῶν ἐκ τῆς αης διαιρέσεως ἔσται ϛ ϛ̄ ⋔ Μ̊ σ̄. καὶ ἐπεί ἐστιν αὐτοῦ δπλ ὁ μείζων τῶν ἐκ τῆς γης διαιρέσεως, ἔστω ϛ κ̄δ̄ ⋔ Μ̊ ω̄. λοιπόν ἐστι καὶ τὴν γην διαίρεσιν συντεθεῖσαν ποιεῖν Μ̊ ρ̄· ἀλλὰ συντεθεῖσα ποιεῖ ϛ κ̄ε̄ ⋔ Μ̊ ω̄. ταῦτα ἴσα Μ̊ ρ̄, καὶ γίνεται ὁ ϛ Μ̊ λ̄ς̄.

ἐπὶ τὰς ὑποστάσεις. ἔσται ὁ μὲν ἐλάσσων τῶν ἐκ τῆς γης διαιρέσεως Μ̊ μ̄λ̄, ὁ δὲ μείζων ξ̄δ̄.

ὁ δὲ ἐλάσσων τῶν ἐκ τῆς αης διαιρέσεως Μ̊ ῑς̄, ὁ δὲ μείζων π̄δ̄.

ὁ δὲ ἐλάσσων τῶν ἐκ τῆς βας διαιρέσεως ‹Μ̊› κ̄η̄, ὁ δὲ μείζων ο̄β̄. καὶ δῆλον ὡς ποιοῦσι τὸ πρόβλημα.

ἔχῃ λόγον δεδομένον, ὁ δὲ ἄλλος ἐκ τῶν τῆς δευτέρας διαιρέσεως νὰ ἔχῃ πρὸς τὸν ἄλλον τὸν ἐκ τῆς πρώτης διαιρέσεως λόγον δεδομένον.

Ἔστω νὰ διαιρεθῇ ὁ 100 εἰς δύο ἀριθμοὺς δίς, ὥστε ὁ μεγαλύτερος τῶν ἐκ τῆς πρώτης διαιρέσεως νὰ εἶναι διπλάσιος τοῦ μικροτέρου τῶν ἐκ τῆς δευτέρας διαιρέσεως, ὁ δὲ μεγαλύτερος τῶν ἐκ τῆς δευτέρας διαιρέσεως νὰ εἶναι τριπλάσιος τοῦ μικροτέρου τῶν ἐκ τῆς πρώτης διαιρέσεως.

Ἔστω ὁ μικρότερος ὁ ἐκ τῆς δευτέρας διαιρέσεως x, ὁ μεγαλύτερος ἄρα τῶν ἐκ τῆς πρώτης διαιρέσεως θὰ εἶναι 2x· ὁ μικρότερος ἄρα τῶν ἐκ τῆς πρώτης διαιρέσεως θὰ εἶναι 100 — 2x· καὶ ἐπειδὴ ὁ μεγαλύτερος τῶν ἐκ τῆς δευτέρας διαιρέσεως εἶναι τριπλάσιος τούτου θὰ εἶναι 300 — 6x. Ἐὰν προστεθοῦν λοιπὸν οἱ τῆς δευτέρας διαιρέσεως θὰ δίδωσι 100· ἀλλὰ προστιθέμενοι δίδουν 300 — 5x· ταῦτα εἶναι = 100, καὶ γίνεται ὁ x = 40.

Ἐπὶ τῶν δεδομένων. Ἔλαβα τὸν μεγαλύτερον τῶν ἐκ τῆς πρώτης διαιρέσεως 2x, ὁπότε θὰ εἶναι = 80· τὸν δὲ μικρότερον τῶν ἐκ τῆς αὐτῆς διαιρέσεως 100 — 2x, ὁπότε θὰ εἶναι = 20· τὸν δὲ μεγαλύτερον τὸν ἐκ τῆς δευτέρας διαιρέσεως 300 — 6x ἤτοι = 60· τὸν δὲ μικρότερον τῶν ἐκ τῆς δευτέρας διαιρέσεως x ἤτοι = 40. Καὶ ἡ ἀπόδειξις εἶναι φανερά.

13

Τὸν ἐπιταχθέντα ἀριθμὸν νὰ διαιρέσωμεν εἰς δύο ἀριθμοὺς τρεῖς φοράς, ὅπως ὁ εἷς τῶν ἐκ τῆς πρώτης διαιρέσεως πρὸς ἕνα τῶν ἐκ τῆς δευτέρας διαιρέσεως νὰ ἔχῃ λόγον δεδομένον, ὁ δὲ ἄλλος τῶν ἐκ τῆς δευτέρας διαιρέσεως πρὸς ἕνα τῶν ἐκ τῆς τρίτης διαιρέσεως νὰ ἔχῃ λόγον δεδομένον, καὶ ἀκόμη ὁ ἄλλος τῶν ἐκ τῆς τρίτης διαιρέσεως πρὸς τὸν ἄλλον τῶν ἐκ τῆς πρώτης διαιρέσεως νὰ ἔχῃ λόγον δεδομένον.

Ἂς ἐπιταχθῇ νὰ διαιρεθῇ ὁ 100 εἰς δύο ἀριθμοὺς τρεῖς φοράς, ὥστε ὁ μεγαλύτερος τῶν ἐκ τῆς πρώτης διαιρέσεως νὰ εἶναι τριπλάσιος τοῦ μικροτέρου τῶν ἐκ τῆς δευτέρας, ὁ δὲ μεγαλύτερος τῶν ἐκ τῆς δευτέρας διαιρέσεως νὰ εἶναι διπλάσιος τοῦ μικροτέρου τῶν ἐκ τῆς τρίτης, καὶ ἀκόμη ὁ μεγαλύτερος τῶν ἐκ τῆς τρίτης διαιρέσεως νὰ εἶναι τετραπλάσιος τοῦ μικροτέρου τῶν ἐκ τῆς πρώτης.

Ἂς ληφθῇ ὁ μικρότερος τῶν ἐκ τῆς τρίτης διαιρέσεως x· ὁ μεγαλύτερος ἄρα τῶν ἐκ τῆς δευτέρας διαιρέσεως θὰ εἶναι 2x. Καὶ ἐπειδὴ τὸ ἄθροισμα εἶναι 100, ὁ μικρότερος ἄρα τῶν ἐκ τῆς δευτέρας διαιρέσεως θὰ εἶναι 100 — 2x. Καὶ ἐπειδὴ ὁ μεγαλύτερος τῶν ἐκ τῆς πρώτης διαιρέσεως εἶναι τριπλάσιος τούτου, θὰ εἶναι 300 — 6x· ὁ μικρότερος ἄρα τῶν ἐκ τῆς πρώτης διαιρέσεως θὰ εἶναι 6x — 200. Καὶ ἐπειδὴ ὁ μεγαλύτερος τῶν ἐκ τῆς τρίτης διαιρέσεως εἶναι τετραπλάσιος αὐτοῦ, θὰ εἶναι 24x — 800. Ὑπολείπεται νὰ προσθέσωμεν τοὺς ὅρους τῆς τρίτης διαιρέσεως καὶ νὰ λάβωμεν 100· ἐὰν ὅμως προσθέσωμεν αὐτοὺς θὰ ἔχωμεν 25x — 800· ταῦτα = 100 καὶ γίνεται x = 36.

ιδ.

Εὑρεῖν δύο ἀριθμοὺς ὅπως ὁ ἐκ τοῦ πολλαπλασιασμοῦ πρὸς τὸν ἐκ τῆς συνθέσεως λόγον ἔχῃ δεδομένον.

Δεῖ δὴ τὸ ὑποτιθέμενον πλῆθος τῶν μονάδων ἑνὸς τῶν ἀριθμῶν μεῖζον εἶναι τοῦ ὁμωνύμου τοῦ διδομένου λόγου.

Ἐπιτετάχθω δὴ τὸν ἐκ τοῦ πολλαπλασιασμοῦ πρὸς τὸν ἐκ τῆς συνθέσεως λόγον ἔχειν $\gamma^{\pi\lambda}$.

Τετάχθω ὁ μὲν εἷς αὐτῶν ϛ ᾱ, *ὁ δὲ ἕτερος, κατὰ τὸν προσδιορισμόν, πλείων* M̊ γ̅· *ἔστω* M̊ ιβ̅. *καὶ ἔστι τὸ μὲν ὑπ' αὐτῶν* ϛ ιβ̅, *ἡ δὲ σύνθεσις αὐτῶν* ϛ ᾱ M̊ ιβ̅. *λοιπόν ἐστιν* ϛ ιβ̅ $\gamma^{\pi\lambda}$ *εἶναι* ϛ ᾱ M̊ ιβ̅· *τρὶς ἄρα τὰ ἐλάσσονα ἴσα [ἐστὶ] τοῖς μείζοσι· καὶ γίνεται ὁ* ϛ M̊ δ̅.

ἔσται ὁ μὲν αὐτῶν M̊ δ̅, *ὁ δὲ* M̊ ιβ̅. *καὶ ποιοῦσι τὸ πρόβλημα.*

ιε.

Εὑρεῖν δύο ἀριθμοὺς ὅπως ἑκάτερος παρὰ θατέρου λαβὼν τὸν ἐπιταχθέντα ἀριθμόν, λόγον ἔχῃ πρὸς τὸν ὑπολειφθέντα τὸν ἐπιταχθέντα.

Ἐπιτετάχθω δὴ τὸν μὲν α^{ov} *παρὰ τοῦ* β^{ov} *λαβόντα* M̊ λ̅, *γίνεσθαι αὐτοῦ* $\beta^{\pi\lambda}$, *τὸν δὲ* β^{ov} *παρὰ τοῦ* α^{ov} *λαβόντα* M̊ ν̅, *γίνεσθαι αὐτοῦ* $\gamma^{\pi\lambda}$.

Τετάχθω ὁ β^{os} ϛ ᾱ *καὶ ὧν δίδωσι* M̊ λ̅· *ὁ ἄρα* α^{os} *ἔσται* ϛ β̅ ⋔ M̊ λ̅, *ἵνα λαβὼν παρὰ τοῦ* β^{ov} *τὰς* M̊ λ̅, *γίνηται* $\beta^{\pi\lambda}$ *αὐτοῦ. λοιπόν ἐστιν καὶ τὸν* β^{ov} *παρὰ τοῦ* α^{ov} *λαβόντα* M̊ ν̅, *γίνεσθαι αὐτοῦ* $\gamma^{\pi\lambda}$· *ἀλλὰ δοὺς μὲν ὁ* α^{os} M̊ ν̅, *λοιπὸν ἔχει* ϛ β̅ ⋔ M̊ π̅· *λαβὼν δὲ αὖ ὁ* β^{os} *τὰς* M̊ ν̅, *γίνεται* ϛ ᾱ M̊ π̅· *λοιπόν ἐστιν* ϛ ᾱ M̊ π̅ $\gamma^{\pi\lambda}$ *εἶναι* ϛ β̅ ⋔ M̊ π̅· *τρὶς ἄρα τὰ ἐλάσσονα ἴσα ἐστὶ τοῖς μείζοσι, καὶ γίνεται ὁ* ϛ M̊ ξδ̅.

καὶ ἔσται ὁ μὲν α^{os} M̊ ϙη̅, *ὁ δὲ* β^{os} M̊ ϙδ̅. *καὶ ποιοῦσι τὸ πρόβλημα.*

ις.

Εὑρεῖν τρεῖς ἀριθμοὺς ὅπως σὺν δύο λαμβανόμενοι ποιῶσι τοὺς ἐπιταχθέντας ἀριθμούς.

Δεῖ δὴ τῶν ἐπιταττομένων τριῶν τὸ ἥμισυ μεῖζον εἶναι ἑκάστου αὐτῶν.

Ἐπιτετάχθω δὴ τὸν μὲν α^{ov} *μετὰ τοῦ* β^{ov} *συντεθέντας ποιεῖν* M̊ κ̅, *τὸν δὲ* β^{ov} *μετὰ τοῦ* γ^{ov} *ποιεῖν* M̊ λ̅, *τὸν δὲ* γ^{ov} *μετὰ τοῦ* α^{ov} *ποιεῖν* M̊ μ̅.

Τετάχθωσαν οἱ τρεῖς ϛ ᾱ. *καὶ ἐπεὶ ὁ* α^{os} *καὶ ὁ* β^{os} *ποιοῦσι* M̊ κ̅, *ἐὰν ἄρα ἀπὸ* ϛ ᾱ *ἀφέλω* M̊ κ̅, *ἕξω τὸν* γ^{ov} ϛ ᾱ ⋔ M̊ κ̅· *διὰ τὰ αὐτὰ καὶ ὁ μὲν* α^{os} *ἔσται* ϛ ᾱ ⋔ M̊ λ̅, *ὁ δὲ* β^{os} ϛ ᾱ ⋔ M̊ μ̅· *λοιπὸν ἔστι τοὺς τρεῖς συντεθέντας ἀριθμοὺς*

Ἐπὶ τῶν δεδομένων. Ὁ μὲν μικρότερος τῶν ἐκ τῆς τρίτης διαιρέσεως εἶναι 36 ὁ δὲ μεγαλύτερος 64.

Ὁ δὲ μικρότερος τῶν ἐκ τῆς πρώτης διαιρέσεως εἶναι 16, ὁ δὲ μεγαλύτερος 84.

Ὁ δὲ μικρότερος τῶν ἐκ τῆς δευτέρας διαιρέσεως εἶναι 28, ὁ δὲ μεγαλύτερος 72. Καὶ εἶναι φανερὸν πῶς λύεται τὸ πρόβλημα.

14

Νὰ εὑρεθῶσι δύο ἀριθμοί, ὅπως τὸ γινόμενον πρὸς τὸ ἄθροισμα αὐτῶν ἔχῃ λόγον δεδομένον.

Πρέπει δὲ ὁ εἷς ἐκ τῶν ἀριθμῶν νὰ εἶναι μεγαλύτερος τοῦ ὁμωνύμου τοῦ διδομένου λόγου.

Ἂς ἐπιταχθῇ νὰ ἔχῃ τὸ γινόμενον πρὸς τὸ ἄθροισμα λόγον 3.

Ἂς ληφθῇ ὁ εἷς ἐξ αὐτῶν x, ὁ δὲ ἄλλος, κατὰ τὸν περιορισμόν, μεγαλύτερος τοῦ 3· ἔστω $= 12$. Καὶ εἶναι τὸ μὲν γινόμενον αὐτῶν 12x, τὸ δὲ ἄθροισμα $x + 12$. Εἶναι λοιπὸν τὸ 12x τριπλάσιον τοῦ $x + 12$· εἶναι ἄρα $3(x + 12) = 12x$· ἐξ ἧς $x = 4$.

Θὰ εἶναι ὁ εἷς μὲν αὐτῶν 4, ὁ δὲ ἄλλος 12. Καὶ λύουσι τὸ πρόβλημα.

15

Νὰ εὑρεθῶσι δύο ἀριθμοί, ὅπως ἑκάτερος λαμβάνων παρὰ τοῦ ἄλλου τὸν δοθέντα ἀριθμόν ἔχῃ λόγον πρὸς τὴν διαφορὰν τὸν δοθέντα.

Ἂς ἐπιταχθῇ ὁ μὲν πρῶτος λαμβάνων παρὰ τοῦ δευτέρου 30, νὰ γίνεται αὐτοῦ διπλάσιος, ὁ δὲ δεύτερος λαμβάνων παρὰ τοῦ πρώτου 50, νὰ γίνεται αὐτοῦ τριπλάσιος.

Ἂς ληφθῇ ὁ δεύτερος $x + 30$· ὁ πρῶτος ἄρα θὰ εἶναι $2x - 30$, ἵνα λαμβάνων παρὰ τοῦ δευτέρου 30 γίνεται διπλάσιος αὐτοῦ. Ὑπολείπεται νὰ λάβῃ καὶ ὁ δεύτερος παρὰ τοῦ πρώτου 50 καὶ νὰ γίνῃ τριπλάσιος αὐτοῦ· ἀλλὰ ὁ πρῶτος δίδων μὲν 50, ἀπομένει $2x - 80$· λαμβάνων δὲ πάλιν ὁ δεύτερος 50 γίνεται $x + 80$. Εἶναι λοιπὸν $x + 80$ τριπλάσιον τοῦ $2x - 80$· τὰ μικρότερα ἄρα λαμβανόμενα τρεῖς φορὰς εἶναι ἴσα πρὸς τὰ μεγαλύτερα, ἐξ ἧς $x = 64$.

Καὶ θὰ εἶναι ὁ μὲν πρῶτος 98, ὁ δὲ δεύτερος 94. Καὶ λύουσι τὸ πρόβλημα.

16

Νὰ εὑρεθῶσι τρεῖς ἀριθμοί, ὅπως προστιθέμενοι ἀνὰ δύο σχηματίζωσι τοὺς δοθέντας ἀριθμούς.

Πρέπει δὲ τὸ ἥμισυ τῶν τριῶν δοθέντων νὰ εἶναι μεγαλύτερον ἑκάστου ἐξ αὐτῶν.

Ἂς ἐπιταχθῇ ὁ μὲν πρῶτος μετὰ τοῦ δευτέρου νὰ δίδῃ 20, ὁ δὲ δεύτερος μετὰ τοῦ τρίτου νὰ δίδῃ 30, ὁ δὲ τρίτος μετὰ τοῦ πρώτου νὰ δίδῃ 40.

γίνεσθαι ἴσους ς α̅· ἀλλ' οἱ τρεῖς συντεθέντες ποιοῦσιν ς γ̅ ⋔ Μ̊ η̅· ταῦτα ἴσα ς α̅· καὶ γίνεται ὁ ς Μ̊ μ̅ε̅.

ἐπὶ τὰς ὑποστάσεις. ἔσται ὁ μὲν αος Μ̊ ι̅ε̅, ὁ δὲ βος Μ̊ ε̅, ὁ δὲ γος Μ̊ κ̅ε̅ καὶ φανερὰ ἡ ἀπόδειξις.

ιζ.

Εὑρεῖν τέσσαρας ἀριθμοὺς ὅπως σὺν τρεῖς συντιθέμενοι ποιῶσι τοὺς ἐπιταχθέντας ἀριθμούς.

Δεῖ δὴ τῶν τεσσάρων τὸ τρίτον μεῖζον εἶναι ἑκάστου αὐτῶν.

Ἐπιτετάχθω δὴ τοὺς μὲν ἀπὸ τοῦ αου τρεῖς κατὰ τὸ ἑξῆς συντεθέντας ποιεῖν Μ̊ κ̅, τοὺς δὲ ἀπὸ τοῦ βου τρεῖς ποιεῖν Μ̊ κ̅β̅, τοὺς δὲ ἀπὸ τοῦ γου τρεῖς ποιεῖν Μ̊ κ̅δ̅, τοὺς δὲ ἀπὸ τοῦ δου τρεῖς ποιεῖν Μ̊ κ̅ζ̅.

Τετάχθωσαν οἱ τέσσαρες ς α̅. καὶ ἐὰν ἄρα ἀπὸ ς α̅ ἀφέλω τοὺς αους τρεῖς, τουτέστι, Μ̊ κ̅, λοιπὸν ἕξω τὸν δον ς α̅ ⋔ Μ̊ κ̅· διὰ τὰ αὐτὰ καὶ ὁ μὲν αος [ἔσται] ς α̅ ⋔ Μ̊ κ̅β̅, ὁ δὲ βος ς α̅ ⋔ Μ̊ κ̅δ̅, ὁ δὲ γος ς α̅ ⋔ Μ̊ κ̅ζ̅. λοιπόν ἐστι τοὺς δ̅ συντεθέντας ἀριθμοὺς ἴσους γίνεσθαι ς α̅. ἀλλ' οἱ δ̅ συντεθέντες ποιοῦσιν ς δ̅ ⋔ Μ̊ η̅γ̅· ταῦτα ἴσα ς α̅. καὶ γίνεται ὁ ς Μ̊ λ̅α̅.

ἐπὶ τὰς ὑποστάσεις. ἔσται ὁ μὲν αος Μ̊ θ̅, ὁ δὲ βος Μ̊ ξ̅, ὁ δὲ γος Μ̊ δ̅, ὁ δὲ δος Μ̊ ι̅α̅. καὶ ποιοῦσι τὸ πρόβλημα.

ιη.

Εὑρεῖν τρεῖς ἀριθμοὺς ὅπως σὺν δύο λαμβανόμενοι τοῦ λοιποῦ ὑπερέχωσι τῷ ἐπιταχθέντι ἀριθμῷ.

Ἐπιτετάχθω δὴ τὸν μὲν αον καὶ τὸν βον τοῦ γου ὑπερέχειν Μ̊ κ̅, τὸν δὲ βον καὶ τὸν γον τοῦ αου ὑπερέχειν Μ̊ λ̅, τὸν δὲ γον καὶ τὸν αον τοῦ βου ὑπερέχειν Μ̊ μ̅.

Τετάχθωσαν οἱ τρεῖς ς β̅. καὶ ἐπεὶ ὁ αος καὶ ὁ βος τοῦ γου ὑπερέχουσιν Μ̊ κ̅, κοινοῦ προστεθέντος τοῦ γου, οἱ τρεῖς, δίς ἐστιν ὁ γος καὶ ἡ ὑπεροχὴ Μ̊ κ̅. ἐὰν ἄρα ἀπὸ τῶν τριῶν, τουτέστιν ς β̅, ἀφέλω Μ̊ κ̅, ἕξω δὶς τὸν γον ς β̅ ⋔ Μ̊ κ̅· ἅπαξ ἄρα ὁ γος ἔσται ς α̅ ⋔ Μ̊ ι̅.

διὰ τὰ αὐτὰ δὴ καὶ ὁ μὲν αος ἔσται ς α̅ ⋔ Μ̊ ι̅ε̅, ὁ δὲ βος ς α̅ ⋔ Μ̊ κ̅. λοιπόν ἐστιν τοὺς τρεῖς ἴσους εἶναι ς β̅· ἀλλ' οἱ τρεῖς συντεθέντες ποιοῦσιν ς γ̅ ⋔ Μ̊ μ̅ε̅· ταῦτα ἴσα ς β̅. καὶ γίνεται ὁ ς Μ̊ μ̅ε̅.

ἐπὶ τὰς ὑποστάσεις. ἔσται ὁ μὲν αος Μ̊ λ̅, ὁ δὲ βος Μ̊ κ̅ε̅, ὁ δὲ γος Μ̊ λ̅ε̅. καὶ ποιοῦσι τὰ τῆς προτάσεως.

῞Ας ληφθῇ τὸ ἄθροισμα τῶν τριῶν x. Καὶ ἐπειδὴ ὁ πρῶτος καὶ ὁ δεύτερος δίδουσιν 20, ἐὰν ἄρα ἀπὸ τοῦ x ἀφαιρέσω 20 θὰ ἔχω τὸν τρίτον $x - 20$· διὰ τοὺς αὐτοὺς λόγους καὶ ὁ μὲν πρῶτος θὰ εἶναι $x - 30$, ὁ δὲ δεύτερος $x - 40$· τὸ ἄθροισμα λοιπὸν τῶν τριῶν πρέπει νὰ δίδῃ x· ἀλλὰ τὸ ἄθροισμα τῶν τριῶν γίνεται $3x - 90$· ταῦτα εἶναι $= x$· ἐξ ἧς $x = 45$.

Ἐπὶ τῶν δεδομένων. Θὰ εἶναι ὁ μὲν πρῶτος 15, ὁ δὲ δεύτερος 5, ὁ δὲ τρίτος 25. Καὶ ἡ ἀπόδειξις εἶναι φανερά.

17

Νὰ εὑρεθῶσι τέσσαρες ἀριθμοί, ὅπως προστιθέμενοι ἀνὰ τρεῖς σχηματίζωσι τοὺς δοθέντας ἀριθμούς.

